Ὁ δὲ ἱερεὺς μελίζων αὐτὸν εἰς τέσσαρα, μετὰ προσοχῆς καὶ εὐλαβείας, λέγει.

Μελίζεται, καὶ διαμερίζεται ὁ Ἀμνὸς τοῦ Θεοῦ, ὁ Υἱὸς τοῦ Πατρὸς, ὁ μελιζόμενος, καὶ μὴ διαιρούμενος, ὁ πάντοτε ἐσθιόμενος, καὶ μηδέποτε δαπανώμενος· ἀλλὰ τοὺς μετέχοντας ἁγιάζει.

Καὶ ὁ διάκονος δεικνύων σὺν τῷ ὡραρίῳ τὸ ἅγιον ποτήριον, λέγει.

Πλήρωσον δέσποτα τὸ ἅγιον ποτήριον. Ὁ δὲ ἱερεὺς λαβὼν τὴν ἄνω κειμένην μερίδα, ποιεῖ σὺν αὐτῇ σταυρὸν ἐπάνω τοῦ ἁγίου ποτηρίου, λέγων. Πλήρωμα πίστεως Πνεύματος ἁγίου. Καὶ οὕτως ἐμβάλλει εἰς τὸ ἅγιον ποτήριον. Ὁ διάκονος. Ἀμήν.

الكاهن الذى يكون ضابطًا الخبز المقدس ويقول

قسّم ياسيد الخبز المقدس

والكاهن يقسمه اربعة اجزاء باحتراسٍ وورعٍ قايلًا

يُقسم ويُفصل حمل اللّٰه ابن الاب الذى يُفصل ولا ينتقص. ويُوكل كل حينٍ ولا يفنى اصلًا. بل انه يقدس المشتركين به.

والشماس يشير بالزنار نحو الكاس المقدسة قايلًا

كمّل ياسيد هذه الكاس المقدسة

والكاهن اذ ياخذ الجزء الموضوع فوقًا يصنع به شكل صليب على الكاس المقدسة قايلًا

كمال امانة الروح القدس

وهكذا يُحدره فى الكاس المقدسة والشماس يقول امين

τοικητηρίου σου, καὶ ἀπὸ θρόνου δόξης τῆς βασιλείας σου, καὶ ἐλθὲ εἰς τὸ ἁγιάσαι ἡμᾶς, ὁ ἄνω τῷ Πατρὶ συγκαθήμενος, καὶ ὧδε ἡμῖν ἀοράτως συνὼν· καὶ καταξίωσον τῇ κραταιᾷ σου χειρὶ, μεταδοῦναι ἡμῖν τοῦ ἀχράντου σώματός σου, καὶ τοῦ τιμίου αἵματος, καὶ δι' ἡμῶν παντὶ τῷ λαῷ.

Εἶτα προσκυνεῖ ὁ ἱερεὺς, ὁμοίως καὶ ὁ διάκονος ἐν ᾧ ἐστι τόπῳ, λέγοντες μυστικῶς τρίς. Ὁ Θεὸς ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ. Ὅταν δὲ εἴδῃ ὁ διάκονος τὸν ἱερέα ἐκτείνοντα τὰς χεῖρας, καὶ ἁπτόμενον τοῦ ἁγίου ἄρτου, πρὸς τὸ ποιῆσαι τὴν ἁγίαν ὕψωσιν, ἐκφωνεῖ.

Πρόσχωμεν. Καὶ ὁ ἱερεὺς ὑψῶν τὸν ἅγιον ἄρτον ἐκφωνεῖ.

Τὰ ἅγια τοῖς ἁγίοις. Εἶτα ζώννυται ὁ διάκονος τὸ ὡράριον αὐτοῦ σταυροειδῶς, καὶ εἰσέρχεται ἐν τῷ ἁγίῳ βήματι, καὶ στὰς ἐκ δεξιῶν

لتقديسنا ايها الجالس فى العلا مع الاب . والحاضر معنا ههنا غير منظور . وارتضِ بان تشركنا بجسدك الطاهر . ودمك الكريم من يدك المقتدرة . وبواسطتنا تشرك بهما كل الشعب .

ثم يسجد الكاهن ومثله الشماس فى مكانه قايلين سراً ثلث مرات

يا الله اغفر لى انا الخاطى

وحينما الشماس يشاهد الكاهن مادا يديه لامساً الخبز المقدس ليصنع الرفعة القدسية يعلن هو بروسخومن

والكاهن اذ يرفع الخبز المقدس

يعلن

القدسات للقديسين

ثم الشماس يتزر بزناره شكل صليب ويدخل الى الهيكل المقدس ويقف من عن يمين

καὶ τῷ πλήθει τοῦ ἐλέους σου ἐξ οὐκ ὄντων εἰς τὸ εἶναι παραγαγὼν τὰ σύμπαντα. Αὐτὸς Δέσποτα οὐράνοθεν ἔπιδε ἐπὶ τοὺς ὑποκεχλικότας σοι τὰς ἑαυτῶν κεφαλὰς· οὐ γὰρ ἔκλιναν σαρκὶ, καὶ αἵματι, ἀλλὰ σοὶ τῷ φοβερῷ Θεῷ. Σὺ οὖν Δέσποτα τὰ προκείμενα πᾶσιν ἡμῖν εἰς ἀγαθὸν ἐξομάλισον κατὰ τὴν ἑκάστου ἰδίαν χρείαν, τοῖς πλέουσι σύμπλευσον, τοῖς ὁδοιποροῦσι συνόδευσον, τοὺς νοσοῦντας ἴασαι, ὁ Ἰατρὸς τῶν ψυχῶν, καὶ τῶν σωμάτων.

Ἐκφώνησις.

Χάριτι, καὶ οἰκτιρμοῖς, καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Ἱερεὺς ἐπεύχεται.

Πρόσχες Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ἐξ ἁγίου κα-

ايها السيد اطلع من السماء على الذين احنوا لك روسهم . لانهم لم يحنوها للحم ودم . بل لك ايها الاله المرهوب . فانت اذاً ايها الرب صير ان تكون هذه الموضوعات لصلاح كل احد منا اجمعين حسب احتياجه الخصوصى . فاصحب السايرين فى البحر . ورافق المسافرين فى البر واشف المرضى ياطبيب الانفس والاجساد .

اعلان

بنعمة ابنك الوحيد ورافته ومحبته للبشر . الذى انت معه مبارك مع روحك الكلى قدسه . الصالح والصانع الحيوة . الان وكل اوان والى دهر الداهرين

ويصلى الكاهن

انصت ايها الرب يسوع المسيح الهنا . من مسكنك المقدس ومن كرسى مجد ملكك . وهلم

Τὴν ἑνότητα τῆς πίστεως, καὶ τὴν κοινωνίαν τοῦ ἁγίου Πνεύματος αἰτησάμενοι, ἑαυτοὺς, καὶ ἀλλήλους, καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ἐκφώνως.

Καὶ καταξίωσον ἡμᾶς Δέσποτα, μετὰ παῤῥησίας ἀκατακρίτως τολμᾶν ἐπικαλεῖσθαί σε τὸν ἐπουράνιον Θεὸν Πατέρα, καὶ λέγειν.

Ὁ λαὸς τὸ, Πάτερ ἡμῶν. Ὁ ἱερεύς.

Ὅτι σοῦ ἐστιν ἡ βασιλεία, καὶ ἡ δύναμις, καὶ ἡ δόξα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. εἶτα, Εἰρήνη πᾶσι.

ὁ Διάκονος.

Τὰς κεφαλὰς ὑμῶν τῷ Κυρίῳ κλίνατε.

Ὁ ἱερεὺς ἐπεύχεται.

Εὐχαριστοῦμέν σοι Βασιλεῦ ἀόρατε, ὁ τῇ ἀμετρήτῳ σου δυνάμει τὰ πάντα δημιουργήσας

ويعلن

واهلنا ايها السيد لان نجسر بدالة وندعوك ابًا غير مدانين يا ايها الاله السموى ونقول والشعب ابانا

والكاهن

لان لك هو الملك والقوة والمجد . ايها الاب والابن والروح القدس . الان وكل اوان والى دهر الداهرين

ثم يقول

السلام لجميعكم

الشماس

احنوا روسكم للرب

والكاهن يصلى

نشكرك ايها الملك الغير المنظور . يامن بقوتك التي لا تقدير لها . ابدعت الاشياكافة . وبكثرة رحمتك اخرجت الكل من العدم الى الوجود . فانت

Τὴν ἡμέραν πᾶσαν τελείαν, ἁγίαν, εἰρηνικὴν, καὶ ἀναμάρτητον, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγὸν, φύλακα τῶν ψυχῶν, καὶ τῶν σωμάτων ἡμῶν, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Συγγνώμην, καὶ ἄφεσιν τῶν ἁμαρτιῶν, καὶ τῶν πλημμελημάτων ἡμῶν, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Τὰ καλὰ, καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν, καὶ εἰρήνην τῷ κόσμῳ, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν ἐν εἰρήνῃ, καὶ μετανοίᾳ ἐκτελέσαι ἡμᾶς, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν, ἀνώδυνα, ἀνεπαίσχυντα, εἰρηνικὰ, καὶ καλὴν ἀπολογίαν τὴν ἐπὶ τοῦ φοβεροῦ βήματος, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

ملك سلام مرشداً امينا وحافظاً لانفسنا واجسادنا من الرب نسال .

مسامحة خطايانا وغفران زلاتنا من الرب نسال .

الخيرات المفيدة لانفسنا والسلام للعالم من الرب نسال .

الباقي من زمن حياتنا ان نكمله بسلامٍ وتوبة من الرب نسال .

منتهاة حياتنا مسيحية سلامية بلا وجع وبغير خزى وجواباً حسناً لدى منبر المسيح المرهوب من الرب نسال .

الاتحاد فى الامانة وشركة الروح القدوس اذ نحن طالبون فذواتنا وبعضنا بعضاً وجميع حياتنا للمسيح الاله نودع .

τὴν δωρεὰν τοῦ ἁγίου Πνεύματος, δεηθῶμεν.

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου, καὶ ἀνάγκης, τοῦ Κυρίου δεηθῶμεν.

Ὁ ἱερεὺς ἐπεύχεται.

Σοὶ παρακατατιθέμεθα τὴν ζωὴν ἡμῶν ἅπασαν, καὶ τὴν ἐλπίδα, Δέσποτα φιλάνθρωπε, καὶ παρακαλοῦμεν, καὶ δεόμεθα, καὶ ἱκετεύομεν· καταξίωσον ἡμᾶς μεταλαβεῖν τῶν ἐπουρανίων σου, καὶ φρικτῶν μυστηρίων ταύτης τῆς ἱερᾶς, καὶ πνευματικῆς τραπέζης, μετὰ καθαροῦ συνειδότος εἰς ἄφεσιν ἁμαρτιῶν, εἰς συγχώρησιν πλημμελημάτων, εἰς Πνεύματος ἁγίου κοινωνίαν, εἰς βασιλείας οὐρανῶν κληρονομίαν, εἰς παῤῥησίαν τὴν πρὸς σὲ, μὴ εἰς κρῖμα, ἢ εἰς κατάκριμα.

Ὁ Διάκονος.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς ὁ Θεὸς τῇ σῇ χάριτι.

من اجل نجاتنا من كل حزن ورجز وخطر وشدة من الرب نطلب .

والكاهن يصلى

لك نودع حياتنا ورجانا جميعهما ياسيداً وادا للبشر . ونطلب ونتضرع ونتوسل . فاهلنا لتناول اسرارك السماوية الرهيبة . من هذه المايدة المقدسة الروحية . بضميرٍ نقى لمغفرة الخطايا . لمسامحة الذنوب . لشركة الروح القدس . لميراث الملكوت السماوى . للدالة امامك . لا لمحاكمةٍ او لدينونة .

والشماس

اعضد وخلص وارحم واحفظنا ياالله بنعمتك .

ان يكون يومنا جميعه كاملًا مقدساً سلامياً وبغير خطية من الرب نسال .

ἀνυμνεῖν τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ἐκφώνησις.

Καὶ ἔσται τὰ ἐλέη τοῦ μεγάλου Θεοῦ, καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ πάντων ἡμῶν.

Ὁ διάκονος λαβὼν καιρὸν παρὰ τοῦ ἱερέως, καὶ ἐξελθὼν, καὶ στὰς ἐν τῷ συνήθει τόπῳ, λέγει.

Πάντων τῶν ἁγίων μνημονεύσαντες, ἔτι καὶ ἔτι, ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῶν προσκομισθέντων, καὶ ἁγιασθέντων τιμίων δώρων, τοῦ Κυρίου δεηθῶμεν.

Ὅπως ὁ φιλάνθρωπος Θεὸς ἡμῶν, ὁ προσδεξάμενος αὐτὰ εἰς τὸ ἅγιον, καὶ ὑπερουράνιον, καὶ νοερὸν αὐτοῦ θυσιαστήριον εἰς ὀσμὴν εὐωδίας πνευματικῆς, ἀντικαταπέμψῃ ἡμῖν τὴν θείαν χάριν, καὶ

الكلى الاكرام العظيم البها . ايها الاب والابن والروح القدس . الان وكل اوان والى دهر الداهرين .

اعلان

ولتكن مراحم الاله العظيم مخلصنا يسوع المسيح مع جميعنا .

والشماس اذ ياخذ بركة من الكاهن يخرج ويقف فى مكانه المعتاد قايلًا

جميع القديسين اذ نحن ذاكرون فايضًا وايضًا بسلام من الرب نطلب .

من اجل هذه المواهب الكريمة المقدمة والمقدسة من الرب نطلب .

حتى ان الهنا المحب البشر القابلها على مذبحه المقدس السماوى العقلى لرايحة عطر زكية روحية يرسل لنا عوضها النعمة الالهية وموهبة الروح القدس نطلب .

والمطران او الاسقف الخ حسبما يكون* ثم يذكر الشماس دبتيخا الاحيا

والكاهن يصلى

اذكر يارب المدينة التى نحن قاطنون فيها . وكل المدن والقرى والمومنين الساكنين فيها . اذكر يارب السايرين فى البحر . والمسافرين فى البر . والمرضى . والمصابين . والمسبين . وخلاصهم . اذكر يارب المقدمين الاثمار . والصانعين الاحسان فى كنايسك . المقدسة . والمتعاهدين المساكين . وارسل مراحمك علينا اجمعين .

ثم يعلن

واعطنا ان نمجد بفمٍ واحد وقلبٍ واحد . ونسبح اسمك

* طالع ما قيل فى الابتدا انه فى اللتورجيا المقدسة ينبغى ان يصنع اولاً تذكار للحبر الرومانى ثم بعده للبطريرك وللاسقف الخصوصى اذ كانا كاثوليكيين فى شركة كنيسة رومية القديمة

χου, Μητροπολίτου, ἢ Ἐπισκόπου, ὅστις ἂν ᾖ*, καὶ τὰ λοιπά. Ὁ διάκονος μνημονεύει τὰ δίπτυχα τῶν ζώντων.

Ὁ δὲ ἱερεὺς ἐπεύχεται.

Μνήσθητι Κύριε τῆς πόλεως, ἐν ᾗ παροικοῦμεν, καὶ πάσης πόλεως καὶ χώρας, καὶ τῶν ἐν πίστει οἰκούντων ἐν αὐταῖς· μνήσθητι Κύριε πλεόντων, ὁδοιπορούντων, νοσούντων, καμνόντων, αἰχμαλώτων καὶ τῆς σωτηρίας αὐτῶν· μνήσθητι Κύριε τῶν καρποφορούντων, καὶ καλλιεργούντων ἐν ταῖς ἁγίαις σου ἐκκλησίαις, καὶ μεμνημένων τῶν πενήτων· καὶ ἐπὶ πάντας ἡμᾶς τὰ ἐλέη σου ἐξαπόστειλον.

Ἐκφώνως.

Καὶ δὸς ἡμῖν ἐν ἑνὶ στόματι, καὶ μιᾷ καρδίᾳ δοξάζειν, καὶ

* Σημείωσαι τὸ εἰρημένον ἐν τῇ ἀρχῇ, ὅτι ἐν τῇ ἱερᾷ λειτουργίᾳ τοῦ τῆς Ῥώμης Ἀρχιερέως πρώτως δεῖ μνημονεύειν· εἶτα καὶ τοῦ Πατριάρχου καὶ τοῦ ἰδίου Ἐπισκόπου ἐάνπερ καθολικοί ὦσιν ἐν κοινωνίᾳ τῆς Ἐκκλησίας τῆς παλαιᾶς Ῥώμης.

τῆς ἐν Χριστῷ Διακονίας, καὶ παντὸς ἱερατικοῦ τάγματος. Ἔτι προσφέρομέν σοι λογικὴν ταύτην λατρείαν ὑπὲρ τῆς οἰκουμένης, ὑπὲρ τῆς ἁγίας καθολικῆς, καὶ ἀποστολικῆς ἐκκλησίας, ὑπὲρ τῶν ἐν ἁγνείᾳ καὶ σεμνῇ πολιτείᾳ διαγόντων, ὑπὲρ τῶν πιστοτάτων, καὶ φιλοχρίστων ἡμῶν βασιλέων, παντὸς τοῦ παλατίου, καὶ τοῦ στρατοπέδου αὐτῶν· δὸς αὐτοῖς Κύριε εἰρηνικὸν τὸ βασίλειον, ἵνα καὶ ἡμεῖς ἐν τῇ γαλήνῃ αὐτῶν ἤρεμον, καὶ ἡσύχιον βίον διάγωμεν πάσῃ ἐν εὐσεβείᾳ, καὶ σεμνότητι.

Ἐκφώνως.

Ἐν πρώτοις μνήσθητι Κύριε τοῦ Ἀρχιεπισκόπου ἡμῶν (τοῦ δεῖνος), ὃν χάρισαι ταῖς ἁγίαις σου ἐκκλησίαις ἐν εἰρήνῃ, σῷον, ἔντιμον, ὑγιᾶ, μακροημερεύοντα, καὶ ὀρθοτομοῦντα τὸν λόγον τῆς σῆς ἀληθείας.

Καὶ ὁ διάκονος πρὸς τῇ θύρᾳ στὰς, λέγει· τοῦ δεῖνος τοῦ Πατριάρ-

كلمة حقك . ورتبة الكهنوت كافةً . والشمامسة الخدام بالمسيح . وساير الطغمات الكهنوتية . وايضاً نقرب لك هذه الذبيحة النطقية من اجل المسكونة . ومن اجل الكنيسة الجامعة المقدسة الرسولية . ومن اجل المجيزين عمرهم بالعفة والسيرة الحميدة . ومن اجل ملوكنا المومنين المحبين المسيح وجميع بلادهم واجنادهم . فاعطهم يارب مُلكاً سلامياً . حتى نحن ايضاً نجيز فى هدوهم عمراً مستكناً بكل عبادة ونقاوة

ويعلن

اذكر يارب اولاً رييس كهنتنا فلان وهبه لكنايسك المقدسة بسلام صحيحاً مكرماً معافَى . مديد الايام . قاطعاً باستقامة كلمة حقك .

والشماس اذيكون واقفاً عند الباب يقول البطريرك فلان .

والشماس يذكر دبتيخا الراقدين والكاهن يصلى

والقديس يوحنا النبى السابق الصابغ والقديسين الرسل المجيدين الكلى مديحهم . والقديس فلان الذى نكمل تذكاره . وجميع القديسين الذين بطلباتهم افتقدنا ياالله . ثم اذكر جميع المتوفين على رجاء قيامة الحيوة الابدية .

وهنا يذكر الكاهن الذين يريدهم من الاحيا ومن الاموات . فمن اجل الاحيا يقول

من اجل خلاص عبد الله فلان وافتقاده وغفران خطاياه

ويقول من اجل الموتى

من اجل مسامحة نفس عبدك فلان وراحتها فى مكان نير . حيث عدم الوجع والتنهد . فنيحها يالهنا وارحها حيث يشرق نور وجهك . ايضاً نتضرع اليك . فاذكر يارب كل مصاف الاساقفة الارتوذكسيين . القاطنين باستقامة

πανευφήμων Ἀποστόλων, τοῦ ἁγίου (τοῦ δεῖνος), οὗ καὶ τὴν μνήμην ἐπιτελοῦμεν καὶ πάντων τῶν ἁγίων σου, ὧν ταῖς ἱκεσίαις ἐπίσκεψαι ἡμᾶς ὁ Θεὸς· καὶ μνήσθητι πάντων τῶν προκεκοιμημένων ἐπ' ἐλπίδι ἀναστάσεως ζωῆς αἰωνίου· Ἐνταῦθα ὁ ἱερεὺς μνημονεύει ὧν θέλει ζώντων, καὶ τεθνεώτων· ὑπὲρ ζώντων λέγει. Ὑπὲρ σωτηρίας, ἐπισκέψεως, ἀφέσεως τῶν ἁμαρτιῶν τοῦ δούλου τοῦ Θεοῦ (τοῦ δεῖνος), ὑπὲρ τεθνεώτων λέγει. Ὑπὲρ ἀναπαύσεως, καὶ ἀφέσεως τῆς ψυχῆς τοῦ δούλου σου (τοῦ δεῖνος) ἐν τόπῳ φωτεινῷ, ἔνθα ἀπέδρα λύπη, καὶ στεναγμὸς· ἀνάπαυσον αὐτὴν ὁ Θεὸς ἡμῶν, καὶ ἀνάπαυσον αὐτὴν, ὅπου ἐπισκοπεῖ τὸ φῶς τοῦ προσώπου σου. Ἔτι παρακαλοῦμέν σε· μνήσθητι Κύριε πάσης Ἐπισκοπῆς ὀρθοδόξου, τῶν ὀρθοτομούντων τὸν λόγον τῆς σῆς ἀληθείας, παντὸς τοῦ Πρεσβυτερίου,

ρων, Πατριαρχῶν, Προφητῶν, Ἀποστόλων Κηρύκων, Εὐαγγελιστῶν, Μαρτύρων, Ὁμολογητῶν, Ἐγκρατευτῶν, καὶ παντὸς πνεύματος ἐν πίστει τετελειωμένου.

Ὁ δὲ διάκονος θυμιᾷ τὴν ἁγίαν τράπεζαν γύρωθεν, καὶ μνημονεύει ὧν βούλεται ζώντων, καὶ τεθνεώτων.

Ὁ ἱερεύς.

Ἐκφώνως.

Ἐξαιρέτως τῆς παναγίας. ἀχράντου, ὑπερευλογημένης. ἐνδόξου, Δεσποίνης ἡμῶν Θεοτόκου, καὶ ἀειπαρθένου Μαρίας.

Ὁ διάκονος μνημονεύει τὰ δίπτυχα τῶν κεκοιμημένων.

Ὁ δὲ ἱερεὺς ἐπεύχεται.

Τοῦ ἁγίου Ἰωάννου τοῦ προφήτου προδρόμου, καὶ Βαπτιστοῦ, τῶν ἁγίων ἐνδόξων, καὶ

والكاهن يصلى

لكى يكونا لمتناولين منهما لعفاف النفس . لمغفرة الخطايا . لشركة الروح القدس . لكمال ملكوت السموات . للدالة اليك . لا لمحاكمة او لدينونة

ايضاً نقرب لك هذه الذبيحة النطقية من اجل المتنيحين بامانة . الاجداد . والابا . وروسا الابا . والانبيا . والرسل . والواعظين . والمبشرين . والشهدا . والمعترفين . والنساك . وروح كل صديق توفّى على الامانة .

ثم ان الشماس يبخر حول المايدة المقدسة ويذكر الذين يشاهم من الاحيا والاموات

والكاهن يعلن

خاصةً ذات كل قداسة الطاهرة الفايقة البركات المجيدة سيدتنا والدة الاله الدايمة بكارتها مريم

ἱερεὺς εὐλογῶν ἀμφότερα τὰ ἅγια, λέγει.

Μεταβαλὼν τῷ Πνεύματί σου τῷ ἁγίῳ, Ὁ διάκονος. Ἀμήν, ἀμήν, ἀμήν.

Καὶ τὴν κεφαλὴν ὑποκλίνας ὁ διάκονος τῷ ἱερεῖ· καὶ εἰπὼν τὸ, Μνήσθητί μου ἅγιε δέσποτα τοῦ ἁμαρτωλοῦ, ἵσταται ἐν ᾧ πρότερον ἵστατο τόπῳ, καὶ λαβὼν τὸ ῥιπίδιον, ῥιπίζει τὰ ἅγια, ὡς καὶ τὸ πρότερον.

Ὁ ἱερεὺς ἐπεύχεται.

Ὥστε γενέσθαι τοῖς μεταλαμβάνουσιν εἰς νῆψιν ψυχῆς, εἰς ἄφεσιν ἁμαρτιῶν, εἰς κοινωνίαν τοῦ ἁγίου Πνεύματος, εἰς βασιλείας οὐρανῶν πλήρωμα, εἰς παῤῥησίαν τὴν πρὸς σὲ, μὴ εἰς κρῖμα, ἢ εἰς κατάκριμα. Ἔτι προσφέρομέν σοι τὴν λογικὴν ταύτην λατρείαν ὑπὲρ τῶν ἐν πίστει ἀναπαυομένων, Προπατόρων, Πατέ-

والكاهن يبارك قايلًا

وما فى هذه الكاس . فدم مسيحك المكرم .

والشماس امين

والشماس من جديد يشير بالزنار نحو القدسات كليهما قايلًا

باركهما ياسيد كليهما

والكاهن يبارك الشكلين المقدسين كليهما قايلًا

ان انك نقلتهما بروحك القدوس

والشماس

امين امين امين

ثم ان يحنى الشماس راسه للكاهن ويقول

اذكرنى ايها السيد القديس انا الخاطى

ينتقل الى المكان الذى كان واقفًا فيه ويتناول المروحة ويرفرف على القدسات كما صنع قبلًا

τὸ πανάγιόν σου Πνεῦμα· στίχ. Καρδίαν καθαράν. Πάλιν τὸ αὐτό· στίχ. Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου. Καὶ αὖθις τὸ αὐτό. Εἶτα τὴν κεφαλὴν ὑποκλίνας ὁ διάκονος, καὶ δεικνύων σὺν τῷ ὡραρίῳ τὸν ἅγιον ἄρτον, λέγει μυστικῶς. Εὐλόγησον Δέσποτα τὸν ἅγιον ἄρτον· καὶ ὁ ἱερεὺς ἀνιστάμενος, σφραγίζει τρὶς τὰ ἅγια δῶρα, λέγων.

Καὶ ποίησον τὸν μὲν ἄρτον τοῦτον τίμιον σῶμα τοῦ Χριστοῦ σου· Ὁ διάκονος. Ἀμήν· Καὶ αὖθις ὁ αὐτὸς· Εὐλόγησον δέσποτα τὸ ἅγιον ποτήριον· καὶ ὁ ἱερεὺς εὐλογῶν λέγει.

Τὸ δὲ ἐν τῷ ποτηρίῳ τούτῳ, τίμιον αἷμα τοῦ Χριστοῦ σου. Ὁ διάκονος. Ἀμήν. Καὶ αὖθις ὁ διάκονος δεικνύων μετὰ τοῦ ὡραρίου ἀμφότερα τὰ ἅγια, λέγει. Εὐλόγησον δέσποτα τὰ ἀμφότερα. Ὁ δὲ

ستيخن

قلباً نقياً اخلق الخ

وتعاد ايضاً

يارب روحك

ستيخن

لا تطرحنى من امام وجهك الخ

وتعاد ايضاً

يارب

ثم يحنى الشماس راسه ويشير بالزنار نحو الخبز المقدس قايلاً سراً

بارك ياسيد هذا الخبز المقدس .

واذ ينتصب الكاهن يختم المواهب المقدسة شكل صليب ثلث مرات قايلاً

واصنع اما هذا الخبز فجسد مسيحك المكرم .

والشماس امين .

ثم يردف هو نفسه قايلاً

بارك ياسيد هذه الكاس المقدسة

καὶ πάντων τῶν ὑπὲρ ἡμῶν γεγενημένων, τοῦ σταυροῦ, τοῦ τάφου, τῆς τριημέρου ἀναστάσεως, τῆς εἰς οὐρανοὺς ἀναβάσεως, τῆς ἐκ δεξιῶν καθέδρας, τῆς δευτέρας καὶ ἐνδόξου πάλιν παρουσίας.

Ἐκφώνησις.

Τὰ σὰ ἐκ τῶν σῶν σοὶ προσφέρομεν κατὰ πάντα, καὶ διὰ πάντα.

Ὁ ἱερεὺς ἐπεύχεται.

Ἔτι προσφέρομέν σοι τὴν λογικὴν ταύτην, καὶ ἀναίμακτον λατρείαν, καὶ παρακαλοῦμεν, καὶ δεόμεθα καὶ ἱκετεύομεν· κατάπεμψον τὸ Πνεῦμά σου τὸ ἅγιον ἐφ' ἡμᾶς, καὶ ἐπὶ τὰ προκείμενα δῶρα ταῦτα.

Καὶ ὁ μὲν διάκονος ἀποτίθησι τὸ ῥιπίδιον, καὶ ἔρχεται ἐγγύτερον τῷ ἱερεῖ, καὶ προσκυνοῦσιν ἀμφότεροι τρὶς ἔμπροσθεν τῆς ἁγίας τραπέζης, εὐχόμενοι καθ' ἑαυτούς, καὶ λέγοντες τὸ, Κύριε, ὁ

الصايرات من اجلنا . الصلب . والقبر . والقيامة فى اليوم الثالث . والصعود الى السموات . والجلوس من عن اليامن . والمجى الثانى المجيد ايضاً .

اعلان

فالتى لك من التى لك . نقدم لك عن كل شى . ومن اجل كل شى .

والكاهن يصلى

ايضاً نقرب لك هذه الذبيحة النطقية الغير الدموية . ونطلب ونتضرع ونسال . فارسل روحك القدوس علينا وعلى هذه المواهب الموضوعة .

واما الشماس فيضع المروحة ويدنو من قرب الكاهن ويسجدان كلاهما ثلث مرات امام المايدة المقدسة مصليين فى ذاتيهما وقايلين

يارب روحك الكلى قدسه الخ

يقول الكاهن اشربوا من هذا كلكم
فيشير هو نحو الكاس المقدسة
والكاهن يقول سراً
ومثل ذلك الكاس بعد العشا قايلاً

Συνδεικνύει καὶ αὐτὸς τὸ ἅγιον ποτήριον,
Ὁ ἱερεὺς μυστικῶς.
Ὁμοίως καὶ τὸ ποτήριον μετὰ τὸ δειπνῆσαι, λέγων.



اعلان

اشربوا من هذا كلكم . هذا هو دمى العهد الجديد . الذى يهراق عنكم وعن كثيرين . لمغفرة الخطايا .
الخورص امين

والكاهن يصلى

ونحن اذاً متذكرون هذه الوصية الخلاصية . وجميع

Ἐκφώνησις.

ΠΙΕΤΕ ΕΞ ΑΥΤΟΥ ΠΑΝΤΕΣ, ΤΟΥΤΟ ΕΣΤΙ ΤΟ ΑΙΜΑ ΜΟΥ, ΤΟ ΤΗΣ ΚΑΙΝΗΣ ΔΙΑΘΗΚΗΣ, ΤΟ ΥΠΕΡ ΥΜΩΝ, ΚΑΙ ΠΟΛΛΩΝ ΕΚΧΥΝΟΜΕΝΟΝ ΕΙΣ ΑΦΕΣΙΝ ΑΜΑΡΤΙΩΝ.
Ὁ χορός. Ἀμήν.

Ὁ ἱερεὺς ἐπεύχεται.

Μεμνημένοι τοίνυν τῆς σωτηρίου ταύτης ἐντολῆς·

χερσὶν, εὐχαριστήσας, καὶ εὐλογήσας, ἁγιάσας, κλάσας, ἔδωκε τοῖς ἁγίοις αὐτοῦ μαθηταῖς, καὶ ἀποστόλοις εἰπών.

خبزاً بيديه المقدستين الطاهرتين اللتين لا عيبَ فيهما . فشكر . وبارك . وقدس . وكسر. واعطى تلاميذه الرسل القديسين قايلًا .



Ἐκφώνησις.

ΛΑΒΕΤΕ, ΦΑΓΕΤΕ, ΤΟΥΤΟ ΜΟΥ ΕΣΤΙ ΤΟ ΣΩΜΑ, ΤΟ ΥΠΕΡ ΥΜΩΝ ΚΛΩΜΕΝΟΝ ΕΙΣ ΑΦΕΣΙΝ ΑΜΑΡΤΙΩΝ. Ὁ χορ. Ἀμήν.

اعلان

خذوا فكلوا هذا هو جسدى . الذى يُكسر من اجلكم لمغفرة الخطايا. والخورص امين

Τούτου δὲ λεγομένου, δεικνύει τῷ ἱερεῖ ὁ διάκονος τὸν ἅγιον δίσκον, κρατῶν καὶ τὸ ὡράριον τοῖς τρισὶ δακτύλοις τῆς δεξιᾶς. Ὁμοίως καὶ ὅταν λέγει ὁ ἱερεύς τὸ, Πίετε ἐξ αὐτοῦ πάντες.

وحينما يقال هذا من الكاهن فالشماس يشير الى الصينية المقدسة ضابطاً الزنار بثلثة اصابع يده اليمين + ومثل ذلك حينما

Ἐνταῦθα πάλιν λαβὼν ὁ διάκονος τὸν ἀστερίσκον ἐκ τοῦ ἁγίου δίσκου, ποιεῖ σταυροῦ τύπον ἐπάνω αὐτοῦ· καὶ ἀσπασάμενος αὐτὸν ἀποτίθησιν.

Ὁ δὲ ἱερεὺς ἐπεύχεται.

Μετὰ τούτων, καὶ ἡμεῖς τῶν μακαρίων δυνάμεων, Δέσποτα φιλάνθρωπε, βοῶμεν καὶ λέγομεν· ἅγιος εἶ, καὶ πανάγιος, σὺ, καὶ ὁ μονογενής σου Υἱὸς, καὶ τὸ Πνεῦμά σου τὸ ἅγιον· ἅγιος εἶ, καὶ πανάγιος, καὶ μεγαλοπρεπὴς ἡ δόξα σου, ὃς τὸν κόσμον σου οὕτως ἠγάπησας, ὥστε τὸν μονογενῆ σου Υἱὸν δοῦναι, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν, μὴ ἀπόληται, ἀλλ' ἔχῃ ζωὴν αἰώνιον· ὃς ἐλθὼν, καὶ πᾶσαν τὴν ὑπὲρ ἡμῶν οἰκονομίαν πληρώσας τῇ νυκτὶ, ἡ παρεδίδοτο, μᾶλλον δὲ ἑαυτὸν παρεδίδου ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς, λαβὼν ἄρτον ἐν ταῖς ἁγίαις αὐτοῦ, καὶ ἀχράντοις, καὶ ἀμωμήτοις

اعلان

مرتلين تسبيح الظفر هاتفين وصارخين وقايلين .

والشماس حينيذٍ يرفع النجم من الصينية المقدسة ويحمل به رسم صليب فوقها ويقبله ويضعه جانباً

الكاهن يصلى

فمع هولاء القوات الطوباويين ايها السيد المحب البشر نحن ايضاً نهتف ونقول . قدوس انت وكلى القدس . انت وابنك الوحيد وروحك القدوس . قدوس انت وكلى القداسة . وعظيم هو مجدك . انت الذى احببت عالمك هكذا . حتى انك اعطيت ابنك الوحيد . لكيلا يهلك كل من يومن به . بل تكون له الحيوة الابدية . ذاك الذى اذ اتى واكمل من اجلنا كل التدبير . ففى الليلة التى اسلم فيها . وبالحرى اسلم ذاته من اجل حيوة العالم . اخذ

μονογενής σου Υἱὸς, καὶ τὸ Πνεῦμά σου τὸ ἅγιον. Σὺ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι ἡμᾶς παρήγαγες· καὶ παραπεσόντας ἀνέστησας πάλιν· καὶ οὐκ ἀπέστης πάντα ποιῶν, ἕως ἡμᾶς εἰς τὸν οὐρανὸν ἀνήγαγες, καὶ τὴν βασιλείαν σου ἐχαρίσω τὴν μέλλουσαν. Ὑπὲρ τούτων ἁπάντων εὐχαριστοῦμέν σοι, καὶ τῷ μονογενεῖ σου Υἱῷ, καὶ τῷ Πνεύματί σου τῷ ἁγίῳ, ὑπὲρ πάντων, ὧν ἴσμεν, καὶ ὧν οὐκ ἴσμεν, τῶν φανερῶν, καὶ ἀφανῶν εὐεργεσιῶν τῶν εἰς ἡμᾶς γεγενημένων. Εὐχαριστοῦμέν σοι καὶ ὑπὲρ τῆς λειτουργίας ταύτης ἣν ἐκ τῶν χειρῶν ἡμῶν δέξασθαι κατηξίωσας· καίτοι σοι παρεστήκασι χιλιάδες Ἀρχαγγέλων, καὶ μυριάδες Ἀγγέλων, τὰ Χερουβὶμ, καὶ τὰ Σεραφὶμ, ἑξαπτέρυγα, πολυόμματα, μετάρσια, πτερωτά.

موضع سيادتك . لانك انت هو الالـه العـديم الوصف . الغير الممكن احواه بعقل . الممتنع النظر اليه . الفايق الادراك . السرمدى . الكاين بالحـال ذاتـه ونفسـه . انت وابنك الوحيـد . وروحك القدوس . انت الذى اخرجتنـا من العدم الى الوجود . ولماسقطنا اقمتنا ايضاً . ولم تبرح صانعاً كل شى . الى ان اصعدتنا الى السما . ووهبتنـا ملكك العتيد . فمن اجل هذه كلها لك نشكر . ولابنك الوحيد . ولروحك القـدوس . عن كل ما نعلمه وما لانعلمه من الاحسانات الصايرة الينا . الظـاهرة والغير الظـاهرة . لك نشكر من اجل هذه الخدمة ايضـاً . التى ارتضيت بان تقبلها من ايدينا . مع انهم منتصبون لديك الوف روساء مليكة . وربوات مليكة . الشاروبيم والسارافيم ذووا الستة الاجنحه . الكثيروا الاعين مرفرفين وطايرين .

Ἐκφώνησις.

Τὸν ἐπινίκιον ὕμνον ᾄδοντα, βοῶντα, κεκραγότα, καὶ λέγοντα.

ἁγίαν ἀναφορὰν ἐν εἰρήνῃ προσφέρειν.

Καὶ ὁ μὲν ἱερεὺς ἐπάρας τὸν ἀέρα ἀπὸ τῶν ἁγίων, ἀποτίθησιν ἓν ἑνὶ τόπῳ, λέγων.

Ἡ χάρις τοῦ Κυρίου. Ὁ δὲ διάκονος προσκυνήσας, εἰσέρχεται ἐν τῷ ἁγίῳ βήματι, καὶ λαβὼν ῥιπίδιον, ῥιπίζει τὰ ἅγια εὐλαβῶς.

Ἐκφώνησις.

Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ἡ ἀγάπη τοῦ Θεοῦ καὶ Πατρὸς, καὶ ἡ κοινωνία τοῦ ἁγίου Πνεύματος εἴη μετὰ πάντων ἡμῶν.

Ἄνω σχῶμεν τὰς καρδίας. Εὐχαριστήσωμεν τῷ Κυρίῳ.

Ὁ ἱερεὺς ἐπεύχεται.

Ἄξιον καὶ δίκαιον σὲ ὑμνεῖν, σὲ εὐλογεῖν, σὲ αἰνεῖν, σοὶ αὐχαριστεῖν, σὲ προσκυνεῖν ἐν παντὶ τόπῳ τῆς δεσποτείας σου. Σὺ γὰρ εἶ Θεὸς ἀνέκφραστος, ἀπερινόητος, ἀόρατος, ἀκατάληπτος, ἀεὶ ὢν, ὡσαύτως ὢν, σὺ, καὶ ὁ

القدسات ويضعه فى احد الامكنة

الشماس

فلنقف حسناً ولنقف بخوف .

فلنصغ لنقدم بسلام القربان المقدس

والكاهن بعد ان يكون رفع الغطا الكبير من على القدسات يضعه فى مكان ما قايلاً

نعمة ربنا الخ

ثم ان الشماس بعد ان يدخل الهيكل المقدس يتناول المروحة ويرفرف بها فوق القدسات بورع

اعلان

نعمة ربنايسوع المسيح ومحبة اللّٰه الاب . وشركة الروح القدس فلتكن مع جميعنا .

فلنرفع قلوبنا فوقاً

فلنشكر الرب

الكاهن يصلى

استحقاق وعدل هو ان نسبحك . ونباركك . ونمدحك . ونشكرك . ونسجد لك فى كل

μονεύσαντες, ἑαυτοὺς, καὶ ἀλλήλους, καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ ἱερεὺς ἐκφώνως.

Διὰ τῶν οἰκτιρμῶν τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ σὺν τῷ παναγίῳ, καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ὁ ἱερεύς. Εἰρήνη πᾶσι.

ὁ Διάκονος.

Ἀγαπήσωμεν ἀλλήλους, ἵνα ἐν ὁμονοίᾳ ὁμολογήσωμεν.

Καὶ ὁ μὲν ἱερεὺς προσκυνήσας τρὶς, ἀσπάζεται τὰ ἅγια οὕτως ὡς εἰσι κεκαλυμμένα· ὁμοίως δὲ καὶ ὁ διάκονος συμπροσκυνεῖ, ἐν ᾧ ἵσταται τόπῳ, καὶ ἀσπάζεται τὸ ὡράριον αὐτοῦ, ἔνθα ἐστὶ σταυροῦ τύπος, καὶ οὕτως ἐκφωνεῖ.

Τὰς θύρας, τὰς θύρας· ἐν σοφίᾳ πρόσχωμεν.

Ὁ λαὸς τὸ, Πιστεύω εἰς ἕνα Θεόν.

ὁ Διάκονος.

Στῶμεν καλῶς, στῶμεν μετὰ φόβου· πρόσχωμεν, τὴν

فذواتنا وبعضنا بعضاً وجميع حياتنا للمسيح الاله نودع

والكاهن يعلن

لاجل رافات ابنك الوحيد الذى انت معه مبارك مع روحك الكلى قدسه الصالح والصانع الحيوة الان وكل اوان والى دهر الداهرين.

الكاهن

السلام لجميعكم

الشماس

فليحب بعضنا بعضاً لكى نعترف بنية واحدة

اما الكاهن فيسجد ثلثاً ويقبل القدسات وهى مستورة بالغطا ومثل ذلك يسجد الشماس في المكان الذى هو واقف فيه. ويقبل زناره حيث يوجد رسم الصليب وهكذا يعلن قايلاً

الابواب الابواب بحكمة فلننصت

والشعب نومن بالٰه واحد بتمامها. والكاهن يرفع الستر عن

Τὴν ἡμέραν πᾶσαν τελείαν, ἁγίαν, εἰρηνικὴν, καὶ ἀναμάρτητον, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγὸν, φύλακα τῶν ψυχῶν, καὶ τῶν σωμάτων ἡμῶν παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Συγγνώμην, καὶ ἄφεσιν τῶν ἁμαρτιῶν, καὶ τῶν πλημμελημάτων ἡμῶν, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Τὰ καλὰ, καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν, καὶ εἰρήνην τῷ κόσμῳ, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν ἐν εἰρήνῃ, καὶ μετανοίᾳ ἐκτελέσαι ἡμᾶς, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν, ἀνώδυνα, ἀνεπαίσχυντα, εἰρηνικὰ, καὶ καλὴν ἀπολογίαν τὴν ἐπὶ τοῦ φοβεροῦ βήματος, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν Θεοτόκου, καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν ἁγίων μνη-

ان يكون يومنا جميعه كاملًا مقدساً سلامياً وبغير خطية من الرب نسال .

ملك سلام مرشداً امينا وحافظاً انفسنا واجسادنا من الرب نسال .

مسامحة خطايانا وغفران زلاتنا من الرب نسال .

الخيرات المفيدة لانفسنا والسلام للعالم من الرب نسال .

الباقي من زمن حياتنا ان نكمله بسلامٍ وتوبة من الرب نسال .

منتهاة حياتنا مسيحية سلامية بلا وجع وبغير خزي وجواباً حسناً لدى المنبر المرهوب من الرب نسال .

ذات كل قداسة الطاهرة الفايقة البركات المجيدة سيدتنا والدة الاله الدايمة بكارتها مريم مع جميع القديسين اذ نحن ذاكرون

من اجل نجاتنا من كل حزن ورجز وخطر وشدة من الرب نطلب .

افشين التقدمة الذى يقوله الكاهن سراً بعد وضع المواهب الالهية على المايدة المقدسة

ايها الرب الاله الضابط الكل . القدوس وحدك . القابل ذبيحة التسبيح من الداعين اياك من كل القلب . اقبل منا نحن الخطاة ايضاً طلبتنا هذه وقدمها الى مذبحك المقدس . واجعلنا كفواً لان نقدم لك قرابين وذبايح روحية من اجل خطايانا وجهالات الشعب . واهلنا لان نجد نعمةً امامك . لكى تكون ذبيحتنا لديك حسنة القبول . وليستقر روح نعمتك الصالح علينا . وعلى هذه المواهب الموضوعة . وعلى شعبك كافةً .

الشماس

اعضد وخلص وارحم واحفظنا يا الله بنعمتك .

Εὐχὴ προσκομιδῆς μετὰ τὴν ἐν τῇ ἁγίᾳ τραπέζῃ τῶν θείων δώρων ἀπόθεσιν.

Κύριε ὁ Θεὸς ὁ παντοκράτωρ, ὁ μόνος ἅγιος, ὁ δεχόμενος θυσίαν αἰνέσεως παρὰ τῶν ἐπικαλουμένων σε ἐν ὅλῃ καρδίᾳ, πρόσδεξαι καὶ ἡμῶν τῶν ἁμαρτωλῶν τὴν δέησιν, καὶ προσάγαγε τῷ ἁγίῳ σου θυσιαστηρίῳ, καὶ ἱκάνωσον ἡμᾶς προσενεγκεῖν σοι δῶρά τε, καὶ θυσίας πνευματικὰς ὑπὲρ τῶν ἡμετέρων ἁμαρτημάτων, καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων· καὶ καταξίωσον ἡμᾶς εὑρεῖν χάριν ἐνώπιόν σου, τοῦ γενέσθαι σοι εὐπρόσδεκτον τὴν θυσίαν ἡμῶν, καὶ ἐπισκηνῶσαι τὸ Πνεῦμα τῆς χάριτός σου τὸ ἀγαθὸν ἐφ' ἡμᾶς, καὶ ἐπὶ τὰ προκείμενα δῶρα ταῦτα, καὶ ἐπὶ πάντα τὸν λαόν σου.

ὁ Διάκονος.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς ὁ Θεὸς τῇ σῇ χάριτι.

Εἶτα καὶ ὁ διάκονος ἀποκλίνας καὶ αὐτὸς τὴν κεφαλήν, κρατῶν ἅμα καὶ τὸ ὡράριον τοῖς τρισὶ δακτύλοις τῆς δεξιᾶς, λέγει πρὸς τὸν ἱερέα. Μνήσθητί μου δέσποτα ἅγιε. Καὶ ὁ ἱερεύς. Μνήσθείη σου Κύριος ὁ Θεὸς ἐν τῇ βασιλείᾳ αὐτοῦ, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Καὶ ἐπαιπὼν τὸ Ἀμὴν καὶ ἀσπασάμενος τὴν τοῦ ἱερέως δεξιὰν, ἐξέρχεται, καὶ στὰς ἐν τῷ συνήθει τόπῳ λέγει.

Πληρώσωμεν τὴν δέησιν ἡμῶν τῷ Κυρίῳ.

Ὑπὲρ τῶν προτεθέντων τιμίων δώρων, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου, καὶ τῶν μετὰ πίστεως, εὐλαβείας, καὶ φόβου Θεοῦ εἰσιόντων ἐν αὐτῷ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου, καὶ ἀνάγκης, τοῦ Κυρίου δεηθῶμεν.

والكاهن

هذا الروح ذاته فليوازرنا فى الخدمة جميع ايام حياتنا

ثم يحنى الشماس ايضاً راسه ضابطاً الزنار بثلثة اصابع يده اليمين ويقول نحو الكاهن

اذكرنى ايها السيد القديس

والكاهن

يذكرك الرب الاله فى ملكوته كل حين الان وكل اوان والى دهر الداهرين.

فيقول امين

ويقبل يمين الكاهن ويخرج فيقف فى مكانه المعتاد قايلاً

فلنكمل طلبتنا للرب.

من اجل هذه المواهب المكرمه الموضوعه من الرب نطلب.

من اجل هذا البيت المقدس والداخلين اليه بامانة وورع وخوف الله من الرب نطلب.

ويغطى به القدسات قايلًا ان يوسف الحسن الشكل الى حد ووضعه به . ويأخذ المبخرة من يدى الشماس ويبخر القدسات ثلث مرات قايلًا

حينيذ يقربون على مذابحك العجول .

ثم يعطى المبخرة ويسبل الفالونيون ويحنى راسه قايلًا نحو الشماس

اذكرنى يا اخا وشريكاً فى الخدمة

والشماس يجاوبه

يذكر الرب الاله كهنوتك فى ملكوته

الكاهن نحو الشماس

صلِّ من اجلى ياشريكاً لى فى الخدمة

والشماس

الروح القدس ياتى عليك وقوة العلىّ تظللك

Ὁ εὐσχήμων Ἰωσήφ· ἕως τοῦ, κηδεύσας ἀπέθετο. Καὶ λαβὼν τὸν θυμιατὸν ἐκ τῶν τοῦ διακόνου χειρῶν, θυμιᾷ τὰ ἅγια τρὶς, λέγων. Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους. Καὶ ἀποδοὺς τὸν θυμιατὸν, καὶ χαλάσας τὸ φελώνιον, κλίνας τε τὴν κεφαλὴν λέγει πρὸς τὸν διάκονον.

Μνήσθητί μου ἀδελφὲ καὶ συλλειτουργέ.

Καὶ ὁ διάκονος πρὸς αὐτόν.

Μνησθείη Κύριος ὁ Θεὸς τῆς ἱερωσύνης σου ἐν τῇ βασιλείᾳ αὐτοῦ.

Καὶ ὁ ἱερεὺς πρὸς τὸν διάκονον.

Εὔξαι ὑπὲρ ἐμοῦ Συλλειτουργέ μου.

Καὶ ὁ διάκονος.

Πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ σὲ, καὶ δύναμις Ὑψίστου ἐπισκιάσει σοι. Καὶ ὁ ἱερεύς. Αὐτὸ τὸ Πνεῦμα συλλειτουργήσει ἡμῖν πάσας τὰς ἡμέρας τῆς ζωῆς ἡμῶν.

λοντος τοῦ ἱερέως εἰσελθεῖν, λέγει πρὸς αὐτὸν ὁ διάκονος.

Μνησθείη Κύριος ὁ Θεὸς τῆς ἱερωσύνης σου ἐν τῇ βασιλείᾳ αὐτοῦ.

Καὶ ὁ ἱερεὺς πρὸς αὐτόν.

Μνησθείη Κύριος ὁ Θεὸς τῆς ἱεροδιακονίας σου ἐν τῇ βασιλείᾳ αὐτοῦ πάντοτε, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Καὶ ὁ μὲν ἱερεὺς ἀποτίθησι τὸ ἅγιον ποτήριον ἐν τῇ ἁγίᾳ τραπέζῃ· τὸν δὲ ἅγιον δίσκον λαβὼν ἀπὸ τῆς τοῦ διακόνου κεφαλῆς, ἀποτίθησι καὶ αὐτὸν τῇ ἁγίᾳ τραπέζῃ, λέγων.

Ὁ εὐσχήμων Ἰωσὴφ· ἀπὸ τοῦ ξύλου καθελὼν· ἕως τέλους. Ἐν τάφῳ σωματικῶς. Ὡς ζωηφόρος· ὡς παραδείσου ὡραιότερος.

Εἶτα τὰ μὲν καλύμματα ἄρας ἀπό τε τοῦ ἱεροῦ δίσκου, καὶ τοῦ ἁγίου ποτηρίου, τίθησιν ἐν ἑνὶ μέρει τῆς ἁγίας τραπέζης, τὸν δὲ ἀέρα ἀπὸ τῶν τοῦ διακόνου ὤμων λαβὼν, καὶ θυμιάσας σκεπάζει δι' αὐτοῦ τὰ ἅγια, λέγων.

يذكر الرب الاله كهنوتك فى ملكوته

والكاهن يقول نحوه

يذكر الرب الاله خدمتك المقدسة فى ملكوته كل حين. الان وكل اوان والى دهر الداهرين

واما الكاهن فيضع الكاس المقدسة على المايدة المقدسة. ثم يتناول الصينية المقدسة من على راس الشماس ويضعها على المايدة المقدسة قايلًا

ان يوسف الحسن الشكل احدر من الخشبه الخ

يامن كان فى القبر بالجسد الخ. ايها المسيح ان قبرك الحامل الحيوة استبان بالحقيقة ابهى من الفردوس الخ.

ثم يرفع غطا الصينية وغطا الكاس ويضعهما فى جانب المايدة المقدسة ويتناول الستر من على كتفى الشماس ويبخره

εὐχόμενος τὸ, Ὁ Θεὸς ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ, λέγει πρὸς τὸν ἱερέα, Ἔπαρον δέσποτα. Καὶ ὁ ἱερεὺς ἄρας τὸν ἀέρα, ἐπιτίθησι τῷ ἀριστερῷ ὤμῳ αὐτοῦ λέγων.

Ἐπάρατε τὰς χεῖρας ἡμῶν εἰς τὰ ἅγια, καὶ εὐλογεῖτε τὸν Κύριον. Εἶτα τὸν ἅγιον δίσκον λαβὼν, ἐπιβάλλει τῇ τοῦ διακόνου κεφαλῇ, μετὰ πάσης προσοχῆς καὶ εὐλαβείας ἔχων ἅμα ὁ διάκονος καὶ τὸν θυμιατὸν ἐνὶ τῶν δακτύλων. Αὐτὸς δὲ τὸ ἅγιον ποτήριον ἀνὰ χεῖρας λαβὼν, ἐξέρχονται διὰ τοῦ βορείου μέρους, προπορευομένων αὐτῶν λαμπάδων. Καὶ περιέρχονται τὸν ναὸν, εὐχόμενοι καθ' ἑαυτοὺς, καὶ λέγοντες.

Πάντων ἡμῶν μνησθείη Κύριος ὁ Θεὸς ἐν τῇ βασιλείᾳ αὐτοῦ, πάντοτε, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Εἰσελθὼν δὲ ὁ διάκονος ἔνδον τῶν ἁγίων θυρῶν, ἵσταται ἐν τοῖς δεξιοῖς. Καὶ μέλ-

ثم يقول نحو الكاهن

ارفع ياسيد

والكاهن يرفع الستر الفوقانى ويضعه على كتف الشماس الشمالية قايلًا

ارفعوا ايديكم الى المقادس وباركوا الرب

ثم ياخذ الصينية المقدسة ويضعها على راس الشماس بكل احتراس وورع وان يكون الشماس واضعًا المبخرة فى احد اصابعه فيتناول الكاس المقدسة بيديه ويخرجان من ناحية الشمال وتتقدمهما المصابيح ويجولان حول الهيكل مصليين فى ذاتيهما وقايلين

يذكر الرب الاله جميعنا فى ملكوته كل حين . الان وكل اوان والى دهر الداهرين .

ويدخل الشماس داخل الابواب المقدسة ويقف من عن اليمين وحينما يدخل الكاهن يقول نحوه الشماس

σου· ἀλλ' ἀξίωσον προσενεχθῆναί σοι ὑπ' ἐμοῦ τοῦ ἁμαρτωλοῦ, καὶ ἀναξίου δούλου σου τὰ δῶρα ταῦτα. Σὺ γὰρ εἶ ὁ προσφέρων, καὶ προσφερόμενος, καὶ προσδεχόμενος καὶ διαδιδόμενος, Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου Πατρὶ, καὶ τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Πληρωθείσης δὲ τῆς εὐχῆς, λέγουσι καὶ αὐτοὶ τὸν χερουβικὸν ὕμνον· εἶτα λαβὼν ὁ διάκονος τὸν θυμιατὸν καὶ θυμίαμα βαλὼν, πρόσεισι τῷ ἱερεῖ. Καὶ λαβὼν εὐλογίαν παρ' αὐτοῦ, θυμιᾷ τὴν ἁγίαν τράπεζαν γύρωθεν, καὶ τὸ ἱερατεῖον ὅλον, καὶ τὸν ἱερέα. Λέγει δὲ καὶ τὸν Πεντηκοστὸν, καὶ τροπάρια κατανυκτικὰ, ὅσα καὶ βούλεται, ὁμοῦ μετὰ τοῦ ἱερέως. Καὶ ἀπέρχονται ἐν τῇ προθέσει, προπορευομένου τοῦ διακόνου. Καὶ θυμιάσας τὰ ἅγια, καθ' ἑαυτὸν

المستحق . لانك انت هو المقرّب والمقرَّب . والقابل والمعطى ايها المسيح الهنا . ولك نرسل المجد مع ابيك الذى لا ابتدا له . وروحك الكلى قدسه . الصالح والصانع الحيوة . الان وكل اوان والى دهر الداهرين +

وعند اكتمال الافشين فهما ايضاً يقولان التسبيح الشاروبيمى ويتناول الشماس المبخرة ويضع بخوراً ويتجه نحو الكاهن . وان يكون اخذ منه بركة يبخر حول المايدة المقدسة مع الهيكل جميعه ثم الكاهن وهو قايل مع الكاهن المزمور الخمسين وطروبارية خشوعية مهما يشاء ويمضيان نحو التقدمة متقدماً اياه الشماس الذى اذ يبخر القدسات يقول فى ذاته

ياالله اغفر لى انا الخاطى

ἀναιμάκτου θυσίας τὴν ἱερουργίαν παρέδωκας ἡμῖν, ὡς Δεσπότης τῶν ἁπάντων. Σὺ γὰρ μόνος Κύριε ὁ Θεὸς ἡμῶν, δεσπόζεις τῶν ἐπουρανίων, καὶ τῶν ἐπιγείων, ὁ ἐπὶ θρόνου χερουβικοῦ ἐποχούμενος, ὁ τῶν Σεραφὶμ Κύριος, καὶ Βασιλεὺς τοῦ Ἰσραὴλ, ὁ μόνος ἅγιος, καὶ ἐν ἁγίοις ἀναπαυόμενος. Σὲ τοίνυν δυσωπῶ τὸν μόνον ἀγαθὸν, καὶ εὐήκοον· ἐπίβλεψον ἐπ' ἐμὲ τὸν ἁμαρτωλὸν καὶ ἀχρεῖον δοῦλόν σου, καὶ καθάρισόν μου τὴν ψυχὴν, καὶ τὴν καρδίαν ἀπὸ συνειδήσεως πονηρᾶς, καὶ ἱκάνωσόν με τῇ δυνάμει τοῦ ἁγίου σου Πνεύματος, ἐνδεδυμένον τὴν τῆς ἱερατείας χάριν παραστῆναι τῇ ἁγίᾳ σου ταύτῃ τραπέζῃ, καὶ ἱερουργῆσαι τὸ ἅγιον, καὶ ἄχραντόν σου σῶμα, καὶ τὸ τίμιον αἷμα. Σοὶ γὰρ προσεύχομαι, κλίνας τὸν ἐμαυτοῦ αὐχένα, καὶ δέομαί σου· μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ, μηδὲ ἀποδοκιμάσῃς με ἐκ παίδων

ريس كهنة . وبما انك سيد الكل . قد سلمتنا خدمة هذه الذبيحة الكهنوتية والغير الدموية . لانك انت وحدك ايها الرب الصانع السمويات والارضيات . ايها الراكب على العرش الشاروبيمي . ورب السيرافيم . وملك اسرائيل القدوس وحدك . والمستريح فى القديسين . فاليك اذاً اتضرع انت الصالح وحدك والمحسن الاجابة . فانظر الىَّ انا عبدك الخاطى البطال . وطهر نفسى وقلبى من ضمير شرير . واجعلنى كفواً بقوة روحك القدوس . انا اللابس نعمة الكهنوت . لان اقف لدى مايدتك هذه المقدسة . واقدس جسدك المقدس الطاهر ودمك الكريم لانى اليك اتقدم محنياً عنقى . واطلب منك ان لا تصرف وجهك عنى . ولا ترذلنى من بين عبيدك . بل ارتضِ بان تتقدم لك هذه القرابين منى انا عبدك الخاطى الغير

σου μυστηρίων, καὶ τῆς ἐπουρανίου σου βασιλείας ἀξιωθῆναι.

Αντιλαβοῦ, σῶσον, ἐλέησον.

Σοφία.

Ἐκφώνησις.

Ὅπως ὑπὸ τοῦ κράτους σου πάντοτε φυλαττόμενοι, σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Εὐχὴ, ἣν λέγει ὁ ἱερεὺς μυστικῶς, τοῦ χερουβικοῦ ᾀδομένου.

Οὐδεὶς ἄξιος τῶν συνδεδεμένων ταῖς σαρκικαῖς ἐπιθυμίαις, καὶ ἡδοναῖς, προσέρχεσθαι ἢ προσεγγίζειν, ἢ λειτουργεῖν σοι Βασιλεῦ τῆς δόξης· τὸ γὰρ διακονεῖν σοι, μέγα, καὶ φοβερὸν καὶ αὐταῖς ταῖς ἐπουρανίοις δυνάμεσιν. Ἀλλ' ὅμως διὰ τὴν ἄφατον, καὶ ἀμέτρητόν σου φιλανθρωπίαν, ἀτρέπτως, καὶ ἀναλλοιώτως γέγονας ἄνθρωπος, καὶ ἀρχιερεὺς ἡμῶν ἐχρημάτισας, καὶ τῆς λειτουργικῆς ταύτης, καὶ

لوم ولا دينونة وان يستحقوا ملكوتك السماوى

اعضد وخلص وارحم واحفظنا يا الله بنعمتك صوفيا

اعلان

حتى ونحن مصانون بقدرتك كل حين نرسل لك المجد ايها الاب والابن والروح القدس الان وكل اوان والى دهر الداهرين.

الافشين الذى يتلوه الكاهن سراً حينما يرتل الشاروبيكون

ليس احد من المرتبطين بالشهوات واللذات الجسدية. مستحقاً ان يتقدم. او يدنو منك. او يخدمك يا ملك المجد. لان الخدمة لك لعظيمةٌ هى. ومرهوبةٌ ايضاً من القوات السماويين انفسهم. لكنك مع هذا جميعه. فلاجل محبتك للبشر العديمة الوصف والغير المتناهية. قد صرت انساناً بغير استحالة ولا تغيير. وحصلت لنا

Ἐκφώνησις.

Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ, καὶ προσκύνησις, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

ὁ Διάκονος.

Ἔτι, καὶ ἔτι, ἐν εἰρήνῃ.

Εὐχὴ πιστῶν β'.

Πάλιν καὶ πολλάκις σοὶ προσπίπτομεν, καὶ σοῦ δεόμεθα, ἀγαθὲ, καὶ φιλάνθρωπε, ὅπως ἐπιβλέψας ἐπὶ τὴν δέησιν ἡμῶν, καθαρίσῃς ἡμῶν τὰς ψυχὰς, καὶ τὰ σώματα ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς, καὶ πνεύματος, καὶ δῴῃς ἡμῖν ἀνένοχον, καὶ ἀκατάκριτον τὴν παράστασιν τοῦ ἁγίου σου θυσιαστηρίου. Χάρισαι δὲ ὁ Θεὸς, καὶ τοῖς συνευχομένοις ἡμῖν προκοπὴν βίου, καὶ πίστεως, καὶ συνέσεως πνευματικῆς· δὸς αὐτοῖς πάντοτε μετὰ φόβου, καὶ ἀγάπης λατρεύουσί σοι, ἀνενόχως, καὶ ἀκατακρίτως μετέχειν τῶν ἁγίων

اعلان

لانك لك ينبغي كل مجد واكرام وسجود . ايها الاب والابن والروح القدس . الان وكل اوان والى دهر الداهرين

الشماس

ايضاً وايضاً بسلام الخ

افشين المومنين الثاني

اننا نحثوا لك ايضاً وبتواتر . ومنك نطلب ايها الصالح والمحب البشر . حتي اذا ما نظرت الى طلباتنا . تنقي انفسنا واجسادنا من كل دنس بشرة وروح . وتمنحنا وقوفاً غير ملام ولامدان لدى مذبحك المقدس . فهب اللهم المصلين معنا امانةً وفهماً روحياً . ثم عيشةً مديدةً . واعطهم ان يعبدوك كل حين بخوف ومحبة . وان يشتركوا باسرارك المقدسة بلا

اما انتم يامومنون كلكم . فايضاً وايضاً بسلام من الرب نطلب +

افشين المومنين الاول بعد فتح الاندبميسى

نشكرك ايها الرب اله القوات . الذى اهلتنا للوقوف الان ايضاً لدى مذبحك المقدس . لكى نستعطف رافاتك من اجل خطايانا وجهالات الشعب . فاقبل طلبتنا يا الله . واجعلنا ان نكون مستحقين ان نقرب لك وسايل وطلبات وذبايح غير دموية من اجل شعبك كافةً . ونحن الذين وضعتنا لخدمتك هذه . صيرنا كفواً بقوة روحك القدوس . لان ندعوك بشهادة ضميرنا النقية فى كل وقت ومكان بغير دينونة ولا عثرة حتى اذ تصغى الينا فتكون لنا مسامحاً بكثرة صلاحك

اعضد وخلص وارحم واحفظنا يا الله بنعمتك صوفيا

Εὐχὴ πιστῶν πρώτη, μετὰ ἀπλωθῆναι τὸ εἱλητόν.

Εὐχαριστοῦμέν σοι, Κύριε ὁ Θεὸς τῶν δυνάμεων, τῷ καταξιώσαντι ἡμᾶς παραστῆναι καὶ νῦν τῷ ἁγίῳ σου θυσιαστηρίῳ καὶ προσπεσεῖν τοῖς οἰκτιρμοῖς σου ὑπὲρ τῶν ἡμετέρων ἁμαρτημάτων, καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων· πρόσδεξαι ὁ Θεὸς τὴν δέησιν ἡμῶν· καὶ ποίησον ἡμᾶς ἀξίους γενέσθαι τοῦ προσφέρειν σοι δεήσεις, καὶ ἱκεσίας, καὶ θυσίας ἀναιμάκτους ὑπὲρ παντὸς τοῦ λαοῦ σου, καὶ ἐχάνωσον ἡμᾶς, οὓς ἔθου εἰς τὴν διακονίαν σου ταύτην, ἐν τῇ δυνάμει τοῦ Πνεύματός σου τοῦ ἁγίου, ἀκαταγνώστως, καὶ ἀπροσκόπτως, ἐν καθαρῷ τῷ μαρτυρίῳ τῆς συνειδήσεως ἡμῶν, ἐπικαλεῖσθαί σε ἐν παντὶ καιρῷ καὶ τόπῳ, ἵνα εἰσακούων ἡμῶν, ἵλεως ἡμῖν εἴης ἐν τῷ πλήθει τῆς σῆς ἀγαθότητος. Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς ὁ Θεὸς τῇ σῇ χάριτι. Σοφία.

τοὺς κατηχουμένους, τοὺς ὑποκεκλικότας σοι τὸν ἑαυτῶν αὐχένα, καὶ καταξίωσον αὐτοὺς ἐν καιρῷ εὐθέτῳ, τῆς τοῦ λουτροῦ παλιγγενεσίας, τῆς ἀφέσεως τῶν ἁμαρτιῶν, καὶ τοῦ ἐνδύματος τῆς ἀφθαρσίας· ἕνωσον αὐτοὺς τῇ ἁγίᾳ σου καθολικῇ καὶ ἀποστολικῇ ἐκκλησίᾳ, καὶ συγκαταρίθμησον αὐτοὺς τῇ ἐκλεκτῇ σου ποίμνῃ.

Ἐκφώνησις.

Ἵνα καὶ αὐτοὶ σὺν ἡμῖν δοξάζωσι τὸ πάντιμον, καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Καὶ ἁπλοῖ τὸ εἱλητὸν ὁ ἱερεύς.

Καὶ ὁ Διάκονος.

Ὅσοι κατηχούμενοι προέλθετε, οἱ κατηχούμενοι προέλθετε, ὅσοι κατηχούμενοι προέλθετε· μήτις τῶν κατηχουμένων· ὅσοι πιστοὶ, ἔτι, καὶ ἔτι, ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

يسوع المسيح خلاصاً لجنس البشر.
انظر الى عبيدك الموعوظين الذين احنوا لك اعناقهم . واهلهم فى وقت موافق لحميم اعادة الولادة. ولغفران الخطايا . ولسربال عدم الفساد. واتحدهم فى كنيستك الجامعة المقدسة الرسولية . واحصهم فى رعيتك المختاره

اعلان

لكى يمجدوا معناهم ايضاً اسمك الكلى الاكرام العظيم البها . ايها الاب والابن والروح القدس. الان وكل اوان والى دهر الداهرين

والكاهن يبسط الاندميسى

الشماس

ايها الموعوظون كافةً اخرجوا . يا ايها الموعوظون اخرجوا . ايها الموعوظون جميعاً اخرجوا . لا يلبث احدٌ من الموعوظين .

والابن والروح القدس الان وكل اوان والى دهر الداهرين

الشماس

صلوا ايها الموعوظون للرب .

ايها المومنون من اجل الموعوظين نطلب .

لكى يرحمهم الرب ويعظهم بكلمة الحق

ليظهر لهم بشارة العدل

ليتحدهم بكنيسته الجامعه المقدسة الرسولية

اعضد وخلص وارحم واحفظهم ياالله بنعمتك

ياايها المعوظون احنوا روسكم للرب .

افشين الموعوظين قبل فتح الاندميسى

ايها الرب الهنا . الساكن فى الاعالى . والناظر المتطامنات . يامن ارسلت ابنك الوحيد ربنا والهنا

Ὁ Διάκονος.

Ἐξέλθατε οἱ κατηχούμενοι τῷ Κυρίῳ.

Οἱ πιστοὶ ὑπὲρ τῶν κατηχουμένων δεηθῶμεν.

Ὅπως ὁ Κύριος αὐτοὺς ἐλεήσῃ.

Κατηχήσῃ αὐτοὺς τῷ λόγῳ τῆς ἀληθείας.

Ἀποκαλύψῃ αὐτοῖς τὸ εὐαγγέλιον τῆς δικαιοσύνης.

Ἑνώσῃ αὐτοὺς τῇ ἁγίᾳ αὐτοῦ καθολικῇ, καὶ ἀποστολικῇ ἐκκλησίᾳ.

Σῶσον, ἐλέησον, ἀντιλαβοῦ, καὶ διαφύλαξον αὐτοὺς ὁ Θεὸς τῇ σῇ χάριτι.

Οἱ κατηχούμενοι τὰς κεφαλὰς ὑμῶν τῷ Κυρίῳ κλίνατε.

Εὐχὴ κατηχουμένων, πρὸ τοῦ ἁπλωθῆναι τὸ εἰλητόν.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐν ὑψηλοῖς κατοικῶν, καὶ τὰ ταπεινὰ ἐφορῶν, ὁ τὴν σωτηρίαν τῷ γένει τῶν ἀνθρώπων ἐξαποστείλας τὸν μονογενῆ σου Υἱὸν καὶ Θεὸν, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, ἐπίβλεψον ἐπὶ τοὺς δούλους σου

σκέψεως, συγχωρήσεως καὶ ἀφέσεως ἁμαρτιῶν τῶν δούλων τοῦ Θεοῦ τῶν ἀδελφῶν τῆς ἁγίας Μονῆς ταύτης.

Ἔτι δεόμεθα ὑπὲρ τῶν μακαρίων, καὶ ἀοιδίμων κτιτόρων τῆς ἁγίας Μονῆς ταύτης, καὶ ὑπὲρ πάντων τῶν προαναπαυσαμένων πατέρων, καὶ ἀδελφῶν ἡμῶν, τῶν ἐνθάδε εὐσεβῶς κειμένων, καὶ ἀπανταχοῦ ὀρθοδόξων.

Ἔτι δεόμεθα ὑπὲρ τῶν καρποφορούντων, καὶ καλλιεργούντων ἐν τῷ ἁγίῳ καὶ πανσέπτῳ ναῷ τούτῳ, κοπιώντων, ψαλλόντων, καὶ ὑπὲρ τοῦ περιεστῶτος λαοῦ, τοῦ ἀπεκδεχομένου τὸ παρὰ σοῦ μέγα, καὶ πλούσιον ἔλεος.

Ἐκφώνησις.

Ὅτι ἐλεήμων, καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

وايضا نطلب من اجل الرحمة والحيوة والسلام والعافية والخلاص لعبيد اللّٰه الاخوة الذين فى هذا المكان المقدس وافتقادهم ومسامحتهم وغفران خطاياهم

وايضاً نطلب من اجل المطوبين الدايمين الذكر الذين عمروا هذا المكان المقدس ومن اجل ساير المتنيحين من ابانا واخوتنا الراقدين بحسن عبادة ههنا وفى كل مكان الارتوذكسيين

وايضاً نطلب من اجل المقدمين الاثمار والصانعين الاحسان فى هذا الهيكل المقدس الكلى الوقار والتعبين والمرتلين ومن اجل هذا الشعب الحاضر المنتظر من لدنك رحمةً عظيمةً وغنية

اعلان

لانك انت هو اله رحوم ومحب للبشر . ولك نرسل المجد ايها الاب

Ὁ χορός. Κύριε ἐλέησον.

Κύριε παντοκράτωρ, ὁ Θεὸς τῶν πατέρων ἡμῶν, δεόμεθά σου, ἐπάκουσον, καὶ ἐλέησον.

Ἐλέησον ἡμᾶς ὁ Θεὸς, κατὰ τὸ μέγα ἔλεός σου, δεόμεθά σου, ἐπάκουσον, καὶ ἐλέησον.

Εὐχὴ τῆς ἐκτενοῦς ἱκεσίας.

Κύριε ὁ Θεὸς ἡμῶν, τὴν ἐκτενῆ ταύτην ἱκεσίαν πρόσδεξαι παρὰ τῶν σῶν δούλων, καὶ ἐλέησον ἡμᾶς, κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου, καὶ τοὺς οἰκτιρμούς σου κατάπεμψον ἐφ' ἡμᾶς, καὶ ἐπὶ πάντα τὸν λαόν σου, τὸν ἀπεκδεχόμενον τὸ παρὰ σοῦ πλούσιον ἔλεος.

Ἔτι δεόμεθα ὑπὲρ τοῦ ἀρχιεπισκόπου ἡμῶν (τοῦ δεῖνος), τοῦ τιμίου πρεσβυτερίου.

Ἔτι δεόμεθα ὑπὲρ τῶν ἀδελφῶν ἡμῶν, τῶν ἱερέων, ἱερομονάχων, καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.

Ἔτι δεόμεθα ὑπὲρ ἐλέους ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, ἐπι-

المقدس ويقف فى مكانه الاعتيادى مبتدياً هكذا

الشماس

نقول كافةً من كل نفسنا ومن كل نيتنا فلنقل

الخورص امين

ايها السيد الضابط الكل اله ابائنا نطلب منك فاستجب وارحم +

ارحمنا يا الله كعظيم رحمتك نطلب منك فاستجب وارحم +

افشين الطلبة المتصلة

ايها الرب الهنا اقبل هذه الطلبة المتصلة من عبيدك. وارحمنا بحسب رحمتك الجزيلة. وارسل رافاتك علينا وعلى كل شعبك المنتظر من لدنك رحمةً غنية.

وايضاً نطلب من اجل رييس كهنتنا فلان والكهنة المكرمين.

وايضاً نطلب من اجل اخوتنا الكهنة والكهنة الرهبان وكل اخ لنا بالمسيح

Ὁ διάκονος εἰπὼν τὸ· ἀμὴν, καὶ προσκυνήσας τὸ ἅγιον εὐαγγέλιον, αἴρει αὐτό. Καὶ ἐξελθὼν διὰ τῶν ἁγίων θυρῶν προπορευομένων αὐτῷ λαμπάδων, ἔρχεται καὶ ἵσταται ἐν τῷ ἄμβωνι, ἢ ἐν τῷ τεταγμένῳ τόπῳ. Ὁ δὲ ἱερεὺς ἱστάμενος ἔμπροσθεν τῆς ἁγίας τραπέζης, καὶ βλέπων πρὸς δυσμὰς ἐκφωνεῖ. Σοφία, ὀρθοὶ, ἀκούσωμεν τοῦ ἁγίου εὐαγγελίου.

Καὶ ὁ διάκονος. Ἐκ τοῦ κατὰ (τόνδε) ἁγίου εὐαγγελίου τὸ ἀνάγνωσμα· ὁ ἱερεὺς, Πρόσχωμεν.

Καὶ πληρωθέντος τοῦ εὐαγγελίου, λέγει ὁ ἱερεύς. Εἰρήνη σοι τῷ εὐαγγελιζομένῳ. Καὶ ἀπελθὼν ὁ διάκονος ἕως τῶν ἁγίων θυρῶν, ἀποδίδωσι τὸ ἅγιον εὐαγγέλιον τῷ ἱερεῖ. Καὶ στὰς ἐν τῷ συνήθει τόπῳ ἄρχεται οὕτως.

Ὁ Διάκονος.

Εἴπωμεν πάντες ἐξ ὅλης τῆς ψυχῆς, καὶ ἐξ ὅλης τῆς διανοίας ἡμῶν εἴπωμεν.

١٢٤ قداس فم الذهب

فيقول الشماس امين ساجدا للانجيل المقدس. ثم يرفعه ويخرج من الابواب المقدسة والشمع يتقدمه ويمضي فيقف فى الاميونون او فى المكان المعين والكاهن ينتصب امام المايدة المقدسة ناظراً الى الغرب ويعلن قايلًا

صوفيا اورثى + فلنسمع الانجيل المقدس

والشماس يقول

قراة من بشارة القديس فلان الانجيلى

والكاهن يقول

بروسخومن

وعند نهاية الانجيل يقول

الكاهن

السلام لك ايها المبشر

والشماس يرجع حتى الابواب المقدسة مسلمًا للكاهن الانجيل

καὶ τῶν σωμάτων ἡμῶν, Χριστὲ ὁ Θεὸς, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου Πατρὶ, καὶ τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ δὲ διακόνος τὸ θυμιατήριον ἀποθέμενος, ἔρχεται πρὸς τὸν ἱερέα, καὶ ὑποκλίνας αὐτῷ τὴν κεφαλὴν, κρατῶν καὶ τὸ ὡράριον σὺν τῷ ἁγίῳ εὐαγγελίῳ ἄκροις τοῖς δακτύλοις, δηλονότι ἐν ἐκείνῳ τῷ τόπῳ τῆς ἁγίας τραπέζης, λέγει.

Εὐλόγησον δέσποτα τὸν εὐαγγελιστὴν τοῦ ἁγίου ἀποστόλου, καὶ εὐαγγελιστοῦ (τοῦδε). Ὁ δὲ ἱερεὺς σφραγίζων αὐτὸν, λέγει.

Ὁ Θεὸς διὰ πρεσβειῶν τοῦ ἁγίου ἐνδόξου ἀποστόλου, καὶ εὐαγγελιστοῦ (τοῦδε) δῴη σοι ῥῆμα τῷ εὐαγγελιζομένῳ, δυνάμει πολλῇ, εἰς ἐκπλήρωσιν τοῦ εὐαγγελίου τοῦ ἀγαπητοῦ Υἱοῦ αὐτοῦ, Κυρίου Ἰησοῦ Χριστοῦ.

هو استنارة انفسنا واجسادنا ايها المسيح الاله. ولك نرسل المجد مع ابيك الذى لا ابتدا لهُ وروحك الكلىَّ قدسه. الصالح والصانع الحيوة. الان وكل اوان والى دهر الداهرين

والشماس يترك المبخره ويأتى نحو الكاهن ويحنى راسه ضابطًا الزنار مع الانجيل المقدس باطراف اصابعه وهوفى مكان المايدة المقدسة قايلًا

بارك ياسيد هذا الانجيل الذى للقديس الرسول الانجيلى فلان

والكاهن يباركه قايلًا

بشفاعة القديس الانجيلى والرسول المجيد فلان يمنحك الله ايها المبشر كلمة بقوة كثيرة لاتمام بشارة ابنه الحبيب الرب يسوع المسيح

Καὶ τοῦ ἀποστόλου πληρωθέντος, λέγει ὁ ἱερεύς. Εἰρήνη σοι. Καὶ ὁ ἀναγνώστης, Ἀλληλούϊα, ψαλμὸς τῷ Δαβίδ. Τοῦ δὲ Ἀλληλούϊα ψαλλομένου, λαβὼν ὁ διάκονος τὸ θυμιατήριον, καὶ τὸ θυμίαμα, πρόεισι τῷ ἱερεῖ, καὶ λαβὼν εὐλογίαν παρ' αὐτοῦ, θυμιᾷ τὴν ἁγίαν τράπεζαν γύρωθεν, καὶ τὸ ἱερατεῖον ὅλον, καὶ τὸν ἱερέα. Καὶ ὁ ἱερεὺς λέγει τὴν εὐχὴν ταύτην.

Εὐχὴ πρὸ τοῦ εὐαγγελίου.

Ἔλλαμψον ἐν ταῖς καρδίαις ἡμῶν, φιλάνθρωπε Δέσποτα, τὸ τῆς σῆς θεογνωσίας ἀχήρατον φῶς, καὶ τοὺς τῆς διανοίας ἡμῶν διάνοιξον ὀφθαλμούς, εἰς τὴν τῶν εὐαγγελικῶν σου κηρυγμάτων κατανόησιν· ἔνθες ἡμῖν τὸν τῶν μακαρίων σου ἐντολῶν φόβον, ἵνα τὰς σαρκικὰς ἐπιθυμίας καταπατήσαντες, πνευματικὴν πολιτείαν μετέλθωμεν, πάντα πρὸς εὐαρέστησίν σου φρονοῦντες. Σὺ γὰρ εἶ ὁ φωτισμὸς τῶν ψυχῶν,

١٢٢ قداس فم الذهب

والقارى بروكيمنن الرسول
والشماس من جديد يقول
بروسخومن
وفى نهاية الرسالة يقول
الكاهن
السلام لك
والقارى الليلويا مزمور داود
وفيما ترتل الليلويا يتناول الشماس
المبخرة والبخور مقدمًا اياه الى
الكاهن وبعد ان ياخذ البركة منه
يبخر حول المايدة المقدسة والهيكل
جميعه ثم الكاهن ويقول الكاهن
هذا الافشين
افشين قبل الانجيل

ايها الرب المحب البشر. اشرق
فى قلوبنا نور معرفتك الهى. وافتح
عينى ذهننا لمفهومية مواعظك
الانجيلية. وضع فينا خوف وصاياك
الطوباوية. لكى نتصرف بسيرة
روحية دايسين الشهوات اللحمية.
متعقلين كل ما يرضيك. لانك انت

διὰ τοῦ τύπου τοῦ τιμίου σου σταυροῦ, τοῦ μονογενοῦς σου Υἱοῦ· μεθ' οὗ εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Εἶτα λέγει ὁ διάκονος πρὸς τὸν ἱερέα.

Κέλευσον Δέσποτα. Καὶ ἀπέρχονται ἐν τῇ καθέδρᾳ. Καὶ ὁ ἱερεὺς λέγει ἀπερχόμενος. Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου. Ὁ δὲ διάκονος. Εὐλόγησον δέσποτα τὴν ἄνω καθέδραν.

Καὶ ὁ ἱερεύς.

Εὐλογημένος εἶ ἐπὶ θρόνου δόξης τῆς βασιλείας σου, ὁ καθήμενος ἐπὶ τῶν Χερουβὶμ, πάντοτε, νῦν, καὶ ἀεὶ, καὶ τοὺς αἰῶνας τῶν αἰώνων.

Καὶ μετὰ τὴν συμπλήρωσιν τοῦ τρισαγίου, ὁ διάκονος ἐλθὼν ἔμπροσθεν τῶν ἁγίων θυρῶν λέγει· Πρόσχωμεν. Καὶ ὁ ἀναγνώστης. Ψαλμὸς τῷ Δαβίδ. Καὶ ὁ διάκονος αὖθις. Σοφία. Καὶ ὁ ἀναγνώστης τὸ προκείμενον τοῦ ἀποστόλου. Καὶ αὖθις ὁ διάκονος. Πρόσχωμεν.

انت معه مبارك الى دهر الداهرين امين .

ثم يقول الشماس نحو الكاهن

كاله فساته ده سبوطا

وحينيذ يتجهان بالذهاب نحو الكاتدرا والكاهن يقول وهو ذاهب مبارك الاتى باسم الرب

والشماس

يارك ياسيد هذه الكاتدرا العليا

والكاهن

مبارك انت على مجد ملكك ايها الجالس على الشاروبيم كل حين الان وكل اوان والى دهر الداهرين

وبعد نهاية التريصاجيون ياتى الشماس الى قرب الابواب المقدسة قايلًا

بروسخومن

والقارى مزمور داود ويقول الشماس

صوفيا

ὕμνον, καὶ ἐπίσκεψαι ἡμᾶς ἐν τῇ χριστότητί σου· συγχώρησον ἡμῖν πᾶν πλημμέλημα ἑκούσιόν τε, καὶ ἀκούσιον· ἁγίασον ἡμῶν τὰς ψυχὰς, καὶ τὰ σώματα· καὶ δὸς ἡμῖν ἐν ὁσιότητι λατρεύειν σοι πάσας τὰς ἡμέρας τῆς ζωῆς ἡμῶν, πρεσβείαις τῆς ἁγίας Θεοτόκου, καὶ πάντων τῶν ἁγίων τῶν ἀπ' αἰῶνός σοι εὐαρεστησάντων. Ὅτι ἅγιος εἶ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ταύτης δὲ τελεσθείσης, ψάλλουσι καὶ αὐτοὶ, ὅ τε ἱερεὺς καὶ ὁ διάκονος, τὸ τρισάγιον, ποιοῦντες δμοῦ καὶ προσκυνήματα τρία ἔμπροσθεν τῆς ἁγίας τραπέζης.

Εὐχὴ τῆς ἄνω καθέδρας.

Δέσποτα Κύριε ὁ Θεὸς τῶν δυνάμεων σῶσον τὸν λαόν σου· καὶ εἰρήνευσον αὐτὸν τῇ δυνάμει τοῦ ἁγίου σου Πνεύματος,

١٢٠ قداس فم الذهب

اصفح لنا عن جميع الزلات الطوعية والغير الطوعية . وقدس انفسنا واجسادنا . واعطنا ان نعبدك بالبرجميع ايام حياتنا . بشفاعة القديسة والدة الاله . وجميع القديسين الذين ارضوك منذ الدهر .

اعلان

لانك قدوس انت يا الهنا . ولك نرسل المجد ايها الاب والابن والروح القدس . الان وكل اوان والى دهر الداهرين .

وبعد نهاية ذلك يرتل الكاهن والشماس معًا التريصاجيون صانعين جملةً السجود الثلاثى امام المايدة المقدسة

اقشين الكاتدرا العليا

ايها الرب السيد اله القوات . خلص شعبك وهبه السلام بقوة روحك القدوس لاجل علامة صليب ابنك الوحيد الكريم . الذى

وعلى ترتيل التريصاجيون يقول الكاهن هذا الافشين

افشين التريصاجيون سراً

الهنا الاله القدوس المستريح فى القديسين . المسبح من السيرافيم باصوات ذات ثلث تقديسات . والممجد من الشاروبيم . والمسجود له من جميع القوات السمويين . يامن اخرجت الاشيا كلها من العدم الى الوجود . وخلقت الانسان على صورتك ومثالك . وزينته بجميع مواهبك . يامن تمنح الطالب فهماً وحكمةً . ولم تهمل الخاطى . بل وضعت التوبة للخلاص . يامن اهلتنا نحن عبيدك الذليلين الغير المستحقين للوقوف فى هذه الساعة ايضاً لدى مجد مذبحك المقدس . ولتقدمة السجود الواجب لك مع اقوال التماجيد . فانت ايها السيد اقبل من فمنا نحن الخطاه السبح المثلث التقديس . وافتقدنا بخيريتك .

Εὐχὴ τοῦ τρισαγίου ὕμνου μυστικῶς.

Ὁ Θεὸς ὁ ἅγιος, ὁ ἐν ἁγίοις ἀναπαυόμενος, ὁ τρισαγίῳ φωνῇ ὑπὸ τῶν Σεραφὶμ ἀνυμνούμενος, καὶ ὑπὸ τῶν Χερουβὶμ δοξολογούμενος, καὶ ὑπὸ πάσης ἐπουρανίου Δυνάμεως προσκυνούμενος, ὁ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγαγὼν τὰ σύμπαντα, ὁ κτίσας τὸν ἄνθρωπον κατ' εἰκόνα σὴν, καὶ ὁμοίωσιν, καὶ παντὶ σου χαρίσματι κατακοσμήσας, ὁ διδοὺς αἰτοῦντι σοφίαν, καὶ σύνεσιν, καὶ μὴ παρορῶν ἁμαρτάνοντα, ἀλλὰ θέμενος ἐπὶ σωτηρίᾳ μετάνοιαν, ὁ καταξιώσας ἡμᾶς τοὺς ταπεινοὺς, καὶ ἀναξίους δούλους σου, καὶ ἐν τῇ ὥρᾳ ταύτῃ στῆναι κατενώπιον τῆς δόξης τοῦ ἁγίου σου θυσιαστηρίου· καὶ τὴν ὀφειλομένην σοι προσκύνησιν, καὶ δοξολογίαν προσάγειν· αὐτὸς Δέσποτα πρόσδεξαι καὶ ἐκ στόματος ἡμῶν τῶν ἁμαρτωλῶν τὸν τρισάγιον

διάκονος ἀποτίθησι τὸ ἅγιον εὐαγγέλιον ἐν τῇ ἁγίᾳ τραπέζῃ, οἱ δὲ ψάλται λέγουσι τὰ συνήθη τροπάρια· καὶ ὅτε ἔλθωσιν εἰς τὸ ὕστερον, λέγει ὁ διάκονος πρὸς τὸν ἱερέα, κλίνων ἅμα τὴν κεφαλήν, κρατῶν καὶ τὸ ὡράριον ἐν τῇ χειρὶ τοῖς τρισὶ δακτύλοις

اما الشماس فيضع الانجيل المقدس على المايدة المقدسة . والمرتلون يقولون الطروباريات المعتادة وحين ينتهون الى الاخيرة يقول الشماس نحو الكاهن وهو منحنى الراس فى الوقت ذاته وضابط الزنار بثلثة اصابع يده

Εὐλόγησον, δέσποτα, τὸν καιρὸν τοῦ τρισαγίου.

بارك ياسيد وقت الثلث التقديسات

Καὶ ὁ ἱερεὺς σφραγίζων αὐτὸν, λέγει.

والكاهن يختمه قايلًا

Ὅτι ἅγιος εἶ ὁ Θεὸς ἡμῶν, πάντοτε, καὶ νῦν, καὶ ἀεὶ.

لانك قدوس انت يا الهنا كل حين الان وكل اوان والى دهر الداهرين

Καὶ πληρωθέντος τοῦ τροπαρίου, ἔρχεται ὁ διάκονος ἐγγὺς τῶν ἁγίων θυρῶν, καὶ δεικνύων τὸ ὡράριον πρῶτον μὲν πρὸς τὴν εἰκόνα τοῦ Χριστοῦ, λέγει.

وبعد نهاية الطروبارية ياتى الشماس الى قرب الابواب المقدسة . ويشير اولًا بالزنار نحو ايقونة المسيح قايلًا

Κύριε σῶσον τοὺς εὐσεβεῖς, καὶ ἐπάκουσον ἡμῶν. Εἶτα ἐπάγει, λέγων πρὸς τοὺς ἐκτὸς μεγαλοφώνως.

خلص يارب المحسنين العبادة واستجب لنا

Καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ψαλλομένου δὲ τοῦ τρισαγίου, λέγει ὁ ἱερεὺς τὴν εὐχὴν ταύτην.

واذ يرجع يقول بصوت عظيم نحو الواقفين خارجًا والى دهر الداهرين

Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

القدس الان وكل اوان والى دهر الداهرين

Τῆς εὐχῆς δὲ τελεσθείσης λέγει ὁ διάκονος πρὸς τὸν ἱερέα, δεικνύων πρὸς ἀνατολὰς τῇ δεξιᾷ, κρατῶν ἅμα καὶ τὸ ὡράριον τοῖς τρισὶ δακτύλοις.

وعند كمال الافشين يقول الشماس نحو الكاهن وهو متجه الى الشرق ضابطاً الزنار بثلثة اصابع يده اليمنى

Εὐλόγησον δέσποτα τὴν ἁγίαν εἴσοδον. Καὶ ὁ ἱερεὺς εὐλογῶν, λέγει.

بارك ياسيد هذا الايصودون المقدس.

Εὐλογημένη ἡ εἴσοδος τῶν ἁγίων σου, πάντοτε, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

والكاهن يبارك قايلًا

مبارك هو ايصودون قديسيك كل حين . الان وكل اوان والى دهر الداهرين

Εἶθ' οὕτως ἀπέρχεται πρὸς τὸν Ἡγούμενον ὁ διάκονος, καὶ ἀσπάζεται τὸ εὐαγγέλιον, εἰ πάρεστιν· εἰδ' οὖν ἀσπάζεται τοῦτο ὁ ἱερεύς.

ثم ياتى الشماس نحو الريس ليقبل الانجيل اذا كان هو حاضراً والم فيقبله الكاهن وعند نهاية الطروبارية الاخيرت ياتى الشماس الى الوسط واذ يقف امام الكاهن يرفع يده قليلًا مظهراً الانجيل المقدس ويقول بصوتٍ عظيم

Πληρωθέντος δὲ τοῦ τελευταίου τροπαρίου, εἰσέρχεται ὁ διάκονος εἰς τὸ μέσον, καὶ στὰς ἔμπροσθεν τοῦ ἱερέως, ἀνυψοῖ μικρὸν τὰς χεῖρας, καὶ δεικνύων τὸ ἅγιον εὐαγγέλιον, λέγει μεγαλοφώνως.

Σοφία, ὀρθοί.

صوفيا اورثى

Εἶτα προσκυνήσας αὐτός τε, καὶ ὁ ἱερεὺς κατόπισθεν αὐτοῦ, εἰσέρχονται εἰς τὸ ἅγιον βῆμα, καὶ ὁ μὲν

ثم ان يسجد هو والكاهن بعده يدخلان الى الهيكل المقدس .

νήματα τρία. Εἶτα λαβὼν ὁ ἱερεὺς τὸ ἅγιον εὐαγγέλιον, δίδωσι τῷ διακόνῳ. Καὶ οὕτως ἐξελθόντες διὰ τοῦ βορείου μέρους, προπορευομένων αὐτῶν λαμπάδων, ποιοῦσι τὴν μικρὰν εἴσοδον.

Καὶ στάντες ἐν τῷ συνήθει τόπῳ, κλίνουσιν ἀμφότεροι τὰς κεφαλάς. Καὶ τοῦ διακόνου εἰπόντος ἡρέμα· Τοῦ Κυρίου δεηθῶμεν· λέγει ὁ ἱερεὺς τὴν εὐχὴν τῆς εἰσόδου μυστικῶς.

من ناحية الشمال صانعين الايصودون الصغير ويتقدمهما الشمع ثم يقفان فى المكان المعتاد ويحنيان راسيهما معاً واذ يقول الشماس بصوت هاد

من الرب نطلب

فالكاهن يقول افشين الايصودون سراً

افشين الايصودون

Εὐχὴ τῆς εἰσόδου.

Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ καταστήσας ἐν οὐρανοῖς τάγματα, καὶ στρατιὰς ἀγγέλων, καὶ ἀρχαγγέλων, πρὸς λειτουργίαν τῆς σῆς δόξης, ποίησον σὺν τῇ εἰσόδῳ ἡμῶν εἴσοδον ἁγίων ἀγγέλων γενέσθαι, συλλειτουργούντων ἡμῖν, καὶ συνδοξολογούντων τὴν σὴν ἀγαθότητα.

Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ

ايها السيد الرب الصنا. يامن اقمت فى السموات طغمات واجناد مليكية وروساء مليكية لخدمة مجدك. اصنع ان يكون مع دخولنا دخول مليكة قديسين خادمين معنا ومجدين معاً صلاحك +

اعلان

لانه لك ينبغى كل مجد واكرام وسجود ايها الاب والابن والروح

والابن والروح القدس .
الان وكل اوان والى دهر
الداهرين +

افشين الانتيفونا الثالثة

يامن انعمت علينا بهذه الصوات
المشتركة المتفقة النغمات . واوعدت
بانه اينما اتفق صوت اثنين او ثلاثة
باسمك تهبهم طلباتهم . فانت الان
ايضاً كمّل لعبيدك الطلبات نحو
الموافق . منعماً علينا فى الدهر
الحاضر بمعرفة حقك وواهباً ايانا
فى العتيد حيوةً ابدية

واذ يرتل المرتلون الانتيفونا
الثالثة او المكارزمى اذا كان يوم
احد فعند وصولهم الى الذكصا
ينتصب الكاهن والشماس امام المايدة
المقدسة ويصنعان ثلث سجدات
ثم يتناول الكاهن الانجيل المقدس
ويعطيه للشماس . وهكذا يخرجان

Ἐκφώνησις.

Ὅτι ἀγαθὸς, καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Εὐχὴ ἀντιφώνου γ'.

Ὁ τὰς κοινὰς ταύτας, καὶ συμφώνους ἡμῖν χαρισάμενος προσευχὰς, ὁ καὶ δύο, καὶ τρισὶ συμφωνοῦσιν ἐπὶ τῷ ὀνόματί σου, τὰς αἰτήσεις παρέχειν ἐπαγγειλάμενος· αὐτὸς καὶ νῦν τῶν δούλων σου τὰ αἰτήματα πρὸς τὸ συμφέρον πλήρωσον, χορηγῶν ἡμῖν ἐν τῷ παρόντι αἰῶνι τὴν ἐπίγνωσιν τῆς σῆς ἀληθείας, καὶ ἐν τῷ μέλλοντι ζωὴν αἰώνιον χαριζόμενος.

Ψαλλομένου δὲ τοῦ τρίτου ἀντιφώνου παρὰ τῶν ψαλτῶν, ἢ τῶν μακαρισμῶν, ἐάν ἐστι κυριακή· ὅταν ἔλθωσιν εἰς τὸ, Δόξα· ὁ ἱερεὺς, καὶ ὁ διάκονος στάντες ἔμπροσθεν τῆς ἁγίας τραπέζης, ποιοῦσι προσκυ-

καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Καὶ ψάλλεται ὁμοίως παρὰ τῶν ψαλτῶν τὸ β'. ἀντίφωνον· ὁ δὲ διάκονος ὁμοίως ποιεῖ, ὡς καὶ ἐν τῇ προτέρᾳ εὐχῇ.

Εὐχὴ ἀντιφώνου β'.

Κύριε ὁ Θεὸς ἡμῶν σῶσον τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου· τὸ πλήρωμα τῆς ἐκκλησίας σου ἐν εἰρήνῃ διαφύλαξον· ἁγίασον τοὺς ἀγαπῶντας τὴν εὐπρέπειαν τοῦ οἴκου σου· σὺ αὐτοὺς ἀντιδόξασον τῇ θείᾳ σου δυνάμει, καὶ μὴ ἐγκαταλίπῃς ἡμᾶς ὁ Θεὸς τοὺς ἐλπίζοντας ἐπὶ σέ.

Ὁ Διάκονος.

Ἔτι, καὶ ἔτι, ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς ὁ Θεὸς τῇ σῇ χάριτι.

Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν.

وترتل الانتيفونا الثانية من المرتلين والشماس يصنع كما صنع اولًا فى الافشين الاول

افشين الانتيفونا الثانية

ايها الرب الهنا . خلص شعبك وبارك ميراثك . احفظ كمال كنيستك بسلام . قدس المحبين جمال بيتك . انت عوضهم مجداً بقوتك الالهية . ولا تهملنا نحن المتكلين عليك +

الشماس

ايضاً وايضاً بسلام من الرب نطلب .

اعضد وخلص وارحم واحفظنا يا الله بنعمتك .

ذات كل قداسة الطاهرة الفايقة البركات المجيدة سيدتنا الخ .

اعلان

لانك انت هو اله صالح ومحب للبشر . ولك نرسل المجد ايها الاب

Εὐχὴ ἀντιφώνου α'.

Κύριε ὁ Θεὸς ἡμῶν, οὗ τὸ κράτος ἀνείκαστον, καὶ ἡ δόξα ἀκατάληπτος, οὗ τὸ ἔλεος ἀμέτρητον, καὶ ἡ φιλανθρωπία ἄφατος· αὐτὸς Δέσποτα κατὰ τὴν εὐσπλαγχνίαν σου ἐπίβλεψον ἐφ' ἡμᾶς, καὶ ἐπὶ τὸν ἅγιον οἶκον, καὶ ποίησον μεθ' ἡμῶν, καὶ τῶν συνευχομένων ἡμῖν, πλούσια τὰ ἐλέη σου, καὶ τοὺς οἰκτιρμούς σου.

Μετὰ δὲ τὴν συμπλήρωσιν τοῦ ἀντιφώνου, ἐλθὼν ὁ διάκονος, καὶ στὰς ἐν τῷ συνήθει τόπῳ καὶ προσκυνήσας, λέγει.

Ἔτι, καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς ὁ Θεὸς τῇ σῇ χάριτι.

Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν.

Ἐκφώνησις.

Ὅτι σὸν τὸ κράτος, καὶ σοῦ ἐστιν ἡ βασιλεία, καὶ ἡ δύναμις καὶ ἡ δόξα, τοῦ Πατρὸς,

الادراك . والرحمة التى لاتقدير لها . والمحبة للبشر الغير الموصوفة . انت ايها السيد بحسب تحننك . انظر الينا والى هذا البيت المقدس . واصنع معنا ومع المصلين وايانا رافاتك ومراحمك الغنية +

وبعد اكمال الانتيفونا ياتى الشماس ويقف فى مكانه كالعادة ويسجد قايلًا

ايضًا وايضًا بسلام من الرب نطلب .

اعضد وخلص وارحم واحفظنا ياالله بنعمتك .

ذات كل قداسة الطاهرة الفايقة البركات المجيدة سيدتنا الخ .

اعلان

لان لك هى العزة . ولك هو الملك والقوة والمجد . ايها الاب والابن والروح القدس . الان وكل اوان . والى دهر الداهرين

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς ὁ Θεὸς τῇ σῇ χάριτι.

Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν Θεοτόκου, καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς, καὶ ἀλλήλους, καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ἐκφώνησις.

Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ, καὶ προσκύνησις, τῷ Πατρὶ καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Καὶ ψάλλεται τὸ πρῶτον ἀντίφωνον παρὰ τῶν ψαλτῶν, καὶ ὁ ἱερεὺς λέγει τὴν εὐχὴν τοῦ ἀντιφώνου· ὁ δὲ διάκονος προσκυνήσας μεθίσταται ἐκ τοῦ τόπου αὐτοῦ, καὶ ἀπελθὼν ἵσταται ἐνώπιον τῆς εἰκόνος τοῦ Χριστοῦ, βλέπων πρὸς δυσμὰς, κρατῶν καὶ τὸ ὡράριον τοῖς τρισὶ δακτύλοις τῆς δεξιᾶς χειρὸς.

ذات كل قداسة الطاهرة الفايقة البركات المجيدة سيدتنا والدة الاله الدايمة بكارتها مريم مع جميع القديسين اذ نحن ذاكرون فذواتنا وبعضنا بعضاً وجميع حياتنا للمسيح الاله نودع .

اعلان

لانه لك ينبغى كل مجدٍ واكرام وسجود ايها الاب والابن والروح القدس الان وكل اوان والى دهر الداهرين .

ثم ترتل الانتيفونا الاولى من المرتلين والكاهن يقول افشين الانتيفونا والشماس يسجد وينتقل من مكانه ويأتى الى امام ايقونة المسيح ويقف ناظراً الى الغرب ضابطاً الزنار بثلثة اصابع يده اليمنى

افشين الانتيفونا الاولى

ايها الرب الهنا . ياذا العزة العديمة المماثلة . والمجد الفايق

παντὸς τοῦ κλήρου καὶ τοῦ λαοῦ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῶν εὐσεβεστάτων, καὶ θεοφυλάκτων βασιλέων ἡμῶν παντὸς τοῦ παλατίου, καὶ τοῦ στρατοπέδου αὐτῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ συμπολεμῆσαι, καὶ ὑποτάξαι ὑπὸ τοὺς πόδας αὐτῶν πάντα ἐχθρὸν, καὶ πολέμιον, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς ἁγίας Μονῆς ταύτης, πάσης πόλεως, χώρας, καὶ τῶν πίστει οἰκούντων ἐν αὐταῖς, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ εὐκρασίας ἀέρων, εὐφορίας τῶν καρπῶν τῆς γῆς, καὶ καιρῶν εἰρηνικῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ πλεόντων, ὁδοιπορούντων, νοσούντων, καμνόντων, αἰχμαλώτων, καὶ τῆς σωτηρίας αὐτῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου, καὶ ἀνάγκης, τοῦ Κυρίου δεηθῶμεν.

من اجل ملوكنا الحسنين العبادة المحفوظين من الله وجميع بلاطهم واجنادهم من الرب نطلب.

من اجل موازرتهم فى الحروب وخضوع كل عدوٍ ومحاربٍ تحت اقدامهم من الرب نطلب.

من اجل هذا المكان المقدس وكل مدينةٍ وقرية والمومنين الساكنين فيها من الرب نطلب.

من اجل اعتدال الهواء وخصب اثمار الارض واوقاتٍ سلامية من الرب نطلب.

من اجل السايرين فى البحر والمسافرين فى البر والمرضى والمصابين والمسبين وخلاصهم من الرب نطلب.

من اجل نجاتنا من كل حزنٍ ورجزٍ وخطرٍ وشدةٍ من الرب نطلب

اعضد وخلص وارحم واحفظنا يا الله بنعمتك.

Ὁ Διάκονος.

Εὐλόγησον Δέσποτα. Ὁ Ἱερεύς.

Εὐλογημένη ἡ βασιλεία τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Διάκονος.

Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν. ὁ χορός. Κύριε ἐλέησον.

Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης, καὶ τῆς σωτηρίας τῶν ψυχῶν ἡμῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου, εὐσταθείας τῶν ἁγίων τοῦ Θεοῦ ἐκκλησιῶν, καὶ τῆς τῶν πάντων ἑνώσεως, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου, καὶ τῶν μετὰ πίστεως, εὐλαβείας, καὶ φόβου Θεοῦ εἰσιόντων ἐν αὐτῷ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ἀρχιεπισκόπου ἡμῶν, (τοῦ δεῖνος), τοῦ τιμίου πρεσβυτερίου, τῆς ἐν Χριστῷ διακονίας,

الكاهن

مباركة هي مملكة الاب والابن والروح القدس. الان وكل اوان. والى دهر الداهرين.

الشماس

بسلام من الرب نطلب

الخورص

يارب ارحم

من اجل السلام العلوى وخلاص نفوسنا من الرب نطلب.

من اجل السلام لكل العالم وحسن الثبات لكنايس اللّٰه المقدسة واتحاد الكل من الرب نطلب.

من اجل هذا البيت المقدس والداخلين اليه بامانةٍ وورعٍ وخوف اللّٰه من الرب نطلب.

من اجل رييس كهنتنا فلان والكهنة المكرمين والشمامسة الخدام بالمسيح وساير الاكليروس وكل الشعب من الرب نطلب.

Η ΘΕΙΑ ΛΕΙΤΟΥΡΓΙΑ

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΙΩΑΝΝΟΥ ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ.

Εὐχὴ τῆς Προθέσεως.

Θεὸς ὁ Θεὸς ἡμῶν, ὁ τὸν οὐράνιον ἄρτον, τὴν τροφὴν τοῦ παντὸς κόσμου, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, ἐξαποστειλας Σωτῆρα, καὶ Λυτρωτὴν, καὶ Εὐεργέτην, εὐλογοῦντα, καὶ ἁγιάζοντα ἡμᾶς, αὐτὸς εὐλόγησον τὴν πρόθεσιν ταύτην, καὶ πρόσδεξαι αὐτὴν εἰς τὸ ὑπερουράνιόν σου θυσιαστήριον· μνημόνευσον, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος, τῶν προσενεγκάντων, καὶ δι' οὓς προσήγαγον, καὶ ἡμᾶς ἀκατακρίτους διαφύλαξον ἐν τῇ ἱερουργίᾳ τῶν θείων σου μυστηρίων.

Ὅτι ἡγίασται, καὶ δεδόξασται τὸ πάντιμον, καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

الليتورجيا

الالهية التى لابينا الجليل فى القديسين يوحنا فم الذهب افشين التقدمة

يا الله الهنا . يامن ارسلت ربنا يسوع المسيح الخبز السماوى غذاء كل العالم . مخلصاً وفادياً ومحسناً . مباركاً ايانا ومقدساً . انت بارك هذه التقدمة . واقبلها على مذبحك السماوى . وبما انك صالح ومحب البشر . اذكر مقدميها والذين قدمت من اجلهم . واحفظنا غير مدانين فى خدمة اسرارك الالهية . لانه قد تقدس وتمجد اسمك الكلى الاكرام العظيم البها . ايها الاب والابن والروح القدس . الان وكل اوان . والى دهر الداهرين امين +

الشماس

بارك ياسيد



Καιρὸς τοῦ ποιῆσαι τῷ Κυρίῳ, δέσποτα εὐλόγησον.

Καὶ ὁ ἱερεὺς σφραγίζων αὐτὸν, λέγει.

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Εἶτα ὁ διάκονος.

Εὔξαι ὑπὲρ ἐμοῦ δέσποτα. Ὁ δὲ ἱερεύς. Κατευθήναι Κύριος τὰ διαβήματά σου εἰς πᾶν ἔργον ἀγαθόν.

Καὶ πάλιν ὁ διάκονος. Μνήσθητί μου δέσποτα ἅγιε. Ὁ ἱερεύς.

Μνησθείη σου Κύριος ὁ Θεὸς ἐν τῇ βασιλείᾳ αὐτοῦ, πάντοτε, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Καὶ ὁ διάκονος εἰπὼν ἀμὴν, καὶ προσκυνήσας ἐξέρχεται, καὶ στὰς ἐν τῷ συνήθει τόπῳ, κατέναντι τῶν ἁγίων θυρῶν προσκυνεῖ μετ' εὐλαβείας τρίτον, λέγων καθ' ἑαυτὸν, τό. Κύριε τὰ χείλη μου ἀνοίξεις. Καὶ μετὰ τοῦτο ἄρχεται, λέγειν. Εὐλόγησον δέσποτα.

Καὶ ἄρχεται ὁ ἱερεύς.

Εὐλογημένη ἡ βασιλεία τοῦ Πατρός.



Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου αὐτοῦ Μητρὸς, τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως τοῦ χρυσοστόμου.

Εἰ δὲ τελεῖται ἡ λειτουργία τοῦ μεγάλου Βασιλείου, λέγει.

Βασιλείου Καισαρείας Καππαδοκίας τοῦ μεγάλου, καὶ πάντων τῶν ἁγίων, ἐλεήσαι, καὶ σώσαι ἡμᾶς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος. ὁ χορός. Ἀμήν.

Μετὰ δὲ τὴν ἀπόλυσιν, θυμιᾷ ὁ διάκονος τὴν ἁγίαν Πρόθεσιν· εἶτα ἀπέρχεται, καὶ θυμιᾷ τὴν ἁγίαν τράπεζαν κύκλῳ σταυροειδῶς, λέγων καθ' ἑαυτόν. Ἐν τάφῳ σωματικῶς· ἐν ᾅδου δὲ μετὰ ψυχῆς ὡς Θεὸς· ἐν παραδείσῳ δὲ μετὰ λῃστοῦ καὶ ἐν θρόνῳ ὑπῆρχες Χριστὲ μετὰ Πατρὸς καὶ Πνεύματος· πάντα πληρῶν ὁ ἀπερίγραπτος, καὶ τὸν, Ν'. ἐν ᾧ καὶ θυμιάσας, τό τε ἱερατεῖον, καὶ τὸν ναὸν ὅλον, εἰσέρχεται αὖθις εἰς τὸ ἅγιον βῆμα, καὶ θυμιάσας τὴν ἁγίαν τράπεζαν αὖθις, καὶ τὸν ἱερέα, τὸ μὲν θυμιατήριον ἀποτίθησιν ἐν τῷ ἰδίῳ τόπῳ· αὐτὸς δὲ προσέρχεται τῷ ἱερεῖ, καὶ στάντες ὁμοῦ πρὸ τῆς ἁγίας τραπέζης, προσκυνοῦσιν ἐκ τρίτου, καθ' ἑαυτοὺς εὐχόμενοι, καὶ λέγοντες.

Βασιλεῦ οὐράνιε. Δόξα ἐν ὑψίστοις Θεῷ. δίς. Κύριε τὰ χείλη μου ἀνοίξεις. ἅπαξ.

Εἶτα ἀσπάζονται, ὁ μὲν ἱερεὺς τὸ ἅγιον εὐαγγέλιον· ὁ δὲ διάκονος τὴν ἁγίαν τράπεζαν. Καὶ μετὰ τοῦτο ὑποκλίνας ὁ διάκονος τὴν ἑαυτοῦ κεφαλὴν τῷ ἱερεῖ κρατῶν καὶ τὸ ὡράριον τοῖς τρισὶ δακτύλοις τῆς δεξιᾶς χειρὸς, λέγει.

Ἐκάλυψεν οὐρανοὺς ἡ ἀρετή σου Χριστὲ, καὶ τῆς αἰνέσεώς σου πλήρης ἡ γῆ. ΔΙΑΚΟΝΟΣ.

Τοῦ Κυρίου δεηθῶμεν. Σχέπασον δέσποτα.

Ὁ ἱερεὺς θυμιῶν τὸ κάλυμμα, ἤτοι τὸν ἀέρα, σκεπάζει καὶ ἀμφότερα, λέγων.

Σκέπασον ἡμᾶς ἐν τῇ σκέπῃ τῶν πτερύγων σου· ἀποδίοξον ἀφ' ἡμῶν πάντα ἐχθρὸν καὶ πολέμιον· εἰρήνευσον ἡμῶν τὴν ζωὴν. Κύριε ἐλέησον ἡμᾶς, καὶ τὸν κόσμον σου, καὶ σῶσον τὰς ψυχὰς ἡμῶν, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Εἶτα λαβὼν ὁ ἱερεὺς τὸν θυμιατὸν, θυμιᾷ τὴν Πρόθεσιν, λέγων ἐκ τρίτου, τό.

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, ὁ οὕτως εὐδοκήσας δόξα σοι.

Ὁ δὲ διάκονος ἐν ἑκάστῃ λέγει. Πάντοτε, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ προσκυνοῦσιν εὐλαβῶς ἀμφότεροι ἐκ γ'. Ἔπειτα λαβὼν ὁ διάκονος τὸν θυμιατὸν, λέγει.

Ἐπὶ τῇ προθέσει τῶν τιμίων δώρων τοῦ Κυρίου δεηθῶμεν.

Καὶ ὁ ἱερεὺς τὴν εὐχὴν τῆς Προθέσεως.

Ὁ Θεὸς, ὁ Θεὸς ἡμῶν. Ζήτει εἰς τὴν ἀρχὴν τῆς λειτουργίας.

Καὶ μετὰ τοῦτο ποιεῖ ἀπόλυσιν ἐκεῖσε, λέγων οὕτω.

Δόξα σοι Χριστὲ ὁ Θεὸς, ἡ ἐλπὶς ἡμῶν δόξα σοι.

Ὁ διάκονος. Δόξα, καὶ νῦν. Κύριε ἐλέησον, δέσποτα εὐλόγησον.

Καὶ ποιεῖ τὴν ἀπόλυσιν ὁ ἱερεὺς, οὕτω λέγων, εἰ μέν ἐστι κυριακή.

Ὁ ἀναστὰς ἐκ νεκρῶν. εἰδ' οὖν.

ثم يقول المزمور الخمسين . واذ يبخر داخل الهيكل جميعه والكنيسة كلها يرجع الى الصيكل المقدس مبخراً المايدة المقدسة مرةً ثانيةً والكاهن . ثم يضع المبخرة فى مكانها ويتقدم نحو الكاهن فينتصب كلاهما امام المايدة المقدسة ويسجدان ثلث مرات مصلين فى ذاتيهما وقايلين ايها الملك السماوى بكمالها والمجد للّٰه فى العلا مرتين ويارب افتح شفتى مرةً واحدةً والكاهن يقبّل الانجيل المقدس والشماس المايدة المقدسة . وبعد هذا يحني الشماس راسهُ للكاهن ضابطاً الزنار بثلثة اصابع يده اليمنى قايلًا وقتٌ يُعمل فيه للرب . بارك ياسيد

والكاهن يختمه قايلًا

مبارك هو الهنا كل حين . الان وكل اوان والى دهر الداهرين

الشماس صلِّ من اجلى ايها السيد والكاهن الرب يسهّل خطواتك الى كلّ عملٍ صالح فيقول ايضاً الشماس اذكرنى ايها السيد القديس والكاهن يذكرك الرب الاله فى ملكوته كل حين الان وكل اوان والى دهر الداهرين واذ يقول الشماس امين ويسجد فيخرج . واذ يكون قايماً فى الموضع المعتاد امام الابواب المقدسة يسجد ثلث مراتٍ بورعٍ قايلًا فى ذاته افتح يارب شفتى وبعد هذا يبتدى قايلًا بارك ياسيد

والكاهن يبتدى مباركةً هى مملكة الاب

بتمامها +

Μνήσθητι Κύριε καὶ τῆς ἐμῆς ἀναξιότητος, καὶ συγχώρησόν μοι πᾶν πλημμέλημα ἑκούσιόν τε, καὶ ἀκούσιον.

Εἶτα μνημονεύει καὶ ὧν βούλεται ζώντων ἐν ἑτέρᾳ σφραγίδι ὡσαύτως, καὶ τίθησι τὰς μερίδας ἐν τῷ κάτωθεν μέρει τοῦ ἁγίου ἄρτου, ὥσπερ καὶ ὁ ἱερεὺς, καὶ λαβὼν τὴν μοῦσαν, συστέλλει τὰς ἐν τῷ δίσκῳ μερίδας ὑποκάτω τοῦ ἁγίου ἄρτου, ὥστε εἶναι ἐν ἀσφαλεῖ, καὶ μὴ ἐκπεσεῖν τι. Εἶτα ὁ διάκονος λαβὼν τὸ θυμιατήριον, καὶ θυμίαμα βαλὼν ἐν αὐτῷ, λέγει πρὸς τὸν ἱερέα.

Εὐλόγησον δέσποτα τὸ θυμίαμα· καὶ εὐθὺς ὁ αὐτός.

Τοῦ Κυρίου δεηθῶμεν.

Καὶ ὁ ἱερεὺς τὴν εὐχὴν τοῦ θυμιάματος.

Θυμίαμά σοι προσφέρομεν Χριστὲ ὁ Θεὸς ἡμῶν, εἰς ὀσμὴν εὐωδίας πνευματικῆς, ὁ προσδεξάμενος εἰς τὸ ὑπερουράνιόν σου θυσιαστήριον, ἀντικατάπεμψον ἡμῖν τὴν χάριν τοῦ παναγίου σου Πνεύματος.

Ὁ διάκονος. Τοῦ Κυρίου δεηθῶμεν. Καὶ ὁ ἱερεὺς θυμιάσας τὸν ἀστερίσκον, τίθησιν ἐπάνω τοῦ ἁγίου ἄρτου, λέγων.

Καὶ ἐλθὼν ὁ ἀστὴρ ἔστη ἐπάνω οὗ ἦν τὸ Παιδίον.

Ὁ διάκονος. Τοῦ Κυρίου δεηθῶμεν. Ὁ ἱερεὺς θυμιῶν τὸ πρῶτον κάλυμμα, σκεπάζει τὸν ἅγιον ἄρτον σὺν τῷ δίσκῳ, λέγων.

Ὁ Κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο Κύριος δύναμιν, καὶ περιεζώσατο. Ὁ ΔΙΑΚΟΝΟΣ.

Τοῦ Κυρίου δεηθῶμεν. Κάλυψον δέσποτα.

Καὶ ὁ ἱερεὺς θυμιῶν τὸ δεύτερον κάλυμμα, σκεπάζει τὸ ἅγιον ποτήριον, λέγων.

والشماس يجاوب عن كل مرة قايلًا كل حين الان وكل اوان والى دهر الداهرين امين ✣

ثم يسجد اثناهما بعبادةٍ ثلث مرات وبعد هذا ياخذ الشماس المبخرة قايلًا

من اجل تقدمة هذه المواهب المكرمه من الرب نطلب

والكاهن يقول افتشين التقدمة ياالله الهنا الخ اطلبه فى ابتدا الليتورجيا وبعد ذلك يصنع الكاهن الختم هناك قايلًا هكذا

المجد لك ايها المسيح الاله رجاونا المجد لك

الشماس ذكصا كانين وثلث مرات يارب ارحم . بارك ياسيد

والكاهن يختم هكذا قايلًا يامن قمت من بين الاموات ان كان يوم احد والم فيقول المسيح الهنا الحقيقى بشفاعة والدته الكلية الطهارة وابينا الجليل فى القديسين يوحنا فم الذهب رييس اساقفة القسطنطينية

وان كانت ليتورجيا القديس باسيليوس الكبير فيقول

باسيليوس الكبير رييس اساقفة قيسارية الكبادوك وجميع القديسين يرحمنا ويخلصنا بما انه صالح ومحب البشر

الخورص امين

وبعد الختم يبخر الشماس التقدمة المقدسة ويمضى فيبخر حول المايدة المقدسة شكل صليب وهو قايل فى ذاته

لقد كنت ايها المسيح الاله فى القبر بالجسد . وفى الجحيم مع النفس كالهٍ . وفى الفردوس مع اللص . وعلى الكرسى مع الاب والروح القدس . مالياً الجميع ياعديم ان تكون محصوراً .

Εἰ δὲ λέγεται τοῦ μεγάλου Βασιλείου, τούτου μνημονεύει. Καὶ οὕτως αἴρων καὶ τὴν ἐννάτην μερίδα, τίθησιν αὐτὴν ἐν τῷ τέλει τῆς τρίτης τάξεως εἰς ἀναπλήρωσιν.

Εἶτα λαβὼν τρίτην σφραγίδα, λέγει.

Μνήσθητι Δέσποτα φιλάνθρωπε, πάσης ἐπισκοπῆς ὀρθοδόξων, τοῦ ἐπισκόπου ἡμῶν (τοῦ δεῖνος), τοῦ τιμίου πρεσβυτερίου, τῆς ἐν Χριστῷ διακονίας, καὶ παντὸς ἱερατικοῦ τάγματος, (τοῦ δεῖνος) καθηγουμένου, καὶ τῶν ἀδελφῶν, καὶ συλλειτουργῶν ἡμῶν, πρεσβυτέρων, διακόνων, καὶ πάντων τῶν ἀδελφῶν ἡμῶν, οὓς προσεκαλέσω εἰς τὴν σὴν κοινωνίαν, διὰ τῆς σῆς εὐσπλαγχνίας, πανάγαθε Δέσποτα.

Καὶ αἴρων μερίδα, τίθησιν αὐτὴν ὑποκάτω τοῦ ἁγίου ἄρτου.

Εἶτα μνημονεύει καὶ ὧν ἔχει ζώντων κατ' ὄνομα, καὶ οὕτως αἴρων τὰς μερίδας, τίθησιν αὐτὰς ὑποκάτω· ἔπειτα λαβὼν ἑτέραν σφραγίδα, λέγει.

Ὑπὲρ μνήμης καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τῶν μακαρίων κτιτόρων τῆς ἁγίας Μονῆς ταύτης.

Εἶτα μνημονεύει τοῦ χειροτονήσαντος αὐτὸν ἀρχιερέως, καὶ ἑτέρων ὧν θέλει κεκοιμημένων κατ' ὄνομα, καὶ τελευταῖον ἐπιλέγει οὕτω.

Καὶ πάντων τῶν ἐπ' ἐλπίδι ἀναστάσεως ζωῆς αἰωνίου, καὶ τῇ σῇ κοινωνίᾳ κεκοιμημένων ὀρθοδόξων πατέρων, καὶ ἀδελφῶν ἡμῶν, φιλάνθρωπε Κύριε.

Καὶ αἴρει μερίδα· ὁ δὲ διάκονος λαβὼν καὶ αὐτὸς σφραγίδα, καὶ τὴν ἁγίαν λόγχην, μνημονεύει ὧν βούλεται τεθνεώτων· καὶ τελευταῖον. λέγει οὕτω.

والكاهن يقول اقشين البخور

بخوراً نقدم لك ايها المسيح الهنا لرايحة عطرٍ زكية روحية . الذى اذا ما قبلتهِ على مذبحك السماوى . ترسل لنا عوضه نعمة روحكِ الكلى قدسهُ .

الشماس من الرب نطلب

والكاهن يبخر النجم ويضعه فوق الخبز المقدس قايلًا

واتى النجم ووقف فوقاً حيث كان الصبى

الشماس من الرب نطلب

الكاهن يبخر الغطا الاول ويغطى به الخبز المقدس مع الصينية قايلًا

الرب قد ملك والجمال لبَس لبس الرب القوة وتمنطق بها

الشماس من الرب نطلب + غطِّ ياسيد

والكاهن يبخر الغطا الثانى ويغطى به الكاس المقدسة قايلًا

غطت السموات فضيلتك ايها المسيح . ومن تسبحتك امتلاءَت الارض الشماس من الرب نطلب + استر ياسيد

والكاهن يبخر الستر الفوقانى ويغطى به كليهما قايلًا

استرنا يااللّٰه تحت ستر جناحيك . واطرد عنا كل عدوٍ ومحاربٍ . وسلم حياتنا . ارحمنا يارب وارحم عالمك . وخلص نفوسنا بما انك صالح ومحب البشر .

وبعد ذلك يتناول الكاهن المبخره ويبخر التقدمة قايلًا ثلث مرات

مبارك انت يااالهنا المرتضى هكذا المجد لك

Τοῦ ἁγίου πρωτομάρτυρος, καὶ ἀρχιδιακόνου Στεφάνου, τῶν ἁγίων μεγάλων μαρτύρων Δημητρίου, Γεωργίου, Θεοδώρου, καὶ πάντων καὶ πασῶν τῶν ἁγίων μαρτύρων.

Καὶ αἴρων πέμπτην μερίδα, τίθησιν αὐτὴν ὑποκάτω τῆς α΄.
τῆς οὔσης ἀρχῆς τῆς δευτέρας τάξεως·
ἔπειτα λέγει.

Τῶν ὁσίων καὶ θεοφόρων πατέρων ἡμῶν, Ἀντωνίου, Εὐθυμίου, Σάββα, Ὀνουφρίου, Ἀθανασίου τοῦ ἐν τῷ Ἄθῳ, καὶ πάντων καὶ πασῶν τῶν ὁσίων.

Καὶ οὕτω αἴρων ἕκτην μερίδα, τίθησιν αὐτὴν ὑποκάτω τῆς β΄.
μερίδος εἰς ἀναπλήρωσιν τῆς β΄. τάξεως·
μετὰ δὲ ταῦτα λέγει.

Τῶν ἁγίων, καὶ θαυματουργῶν ἀναργύρων Κοσμᾶ, καὶ Δαμιανοῦ, Κύρου, καὶ Ἰωάννου, Παντελεήμονος, καὶ Ἑρμολάου, καὶ πάντων τῶν ἁγίων Ἀναργύρων.

Καὶ αἴρων ἑβδόμην μερίδα, τίθησιν αὐτὴν ἄνω, ποιῶν γ΄.
ἀρχὴν κατὰ τάξιν· εἶτ' αὖθις λέγει.

Τῶν ἁγίων, καὶ δικαίων Θεοπατόρων Ἰωακεὶμ, καὶ Ἄννης, (τοῦ Ἁγίου τῆς ἡμέρας) καὶ πάντων τῶν ἁγίων, ὧν ταῖς ἱκεσίαις ἐπίσκεψαι ἡμᾶς ὁ Θεός.

Καὶ τίθησιν ὀγδόην μερίδα ὑποκάτω τῆς α΄. εὐτάκτως· ἔτι δὲ
πρὸς τούτοις λέγει.

Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως τοῦ Χρυσοστόμου· (εἴπερ λέγεται ἡ λειτουργία αὐτοῦ).

اذكر ايها السيد الواد البشر جميع الاساقفة الارثوذكسيين . وريس كهنتنا فلان واخوتنا والخادمين معنا كهنة وشمامسة . وجميع اخوتنا الذين دعوتهم للاشتراك بك لاجل رافتك ايها السيد الكلى الصلاح

واذ يرفع الجزء يضعه تحت الخبز المقدس ثم يذكر الذين يريدهم من الاحيا باسمائهم . وهكذا اذ يرفع الاجزا يضعها اسفلاً . وبعد ذلك ياخذ ختماً اخر قايلاً

من اجل تذكار المطوبين الذين عمروا هذا المكان المقدس وغفران خطاياهم

ثم يذكر رييس الكهنة الذى رسمه وايضاً مقدار ما يشا من الراقدين باسمائهم واخيراً يقول هكذا

اذكر ايها الرب الواد البشر جميع ابائنا واخوتنا الراقدين بك على رجاء القيامة والحيوة الابدية فى شركة الامانة الارثوذكسية

ويرفع الجزء واذ ياخذ الشماس ايضاً الختم والحربة المقدسة فيذكر من يشاء من الاموات واخيراً يقول هكذا

اذكرنى يارب ايضاً انا الغير المستحق وسامحنى بكل ما اخطات طوعياً او غيرطوعى

ثم يذكر الذين يريدهم من الاحياً ايضاً بختم اخر . ويضع الاجزاء تحت الخبز المقدس كما فعل الكاهن واذ ياخذ الاسفنجة يجمع الاجزاء التى فى الصينية تحت الخبز المقدس بنوع انها تكون امينة بدون ان يسقط منها شى ثم الشماس يتناول المبخرة واضعاً فيها البخور قايلاً نحو الكاهن بارك ياسيد هذا البخور مردفاً القول من الرب نطلب

Καὶ αἴρων μερίδα, τίθησιν ἐν τῷ δεξιῷ μέρει τοῦ ἁγίου ἄρτου, πλησίον τῆς μέσης αὐτοῦ, λέγων.

Παρέστη ἡ Βασίλισσα ἐν δεξιῷ σου, ἐν ἱματισμῷ διαχρύσῳ, περιβεβλημένη πεποικιλμένη.

Εἶτα λαβὼν δευτέραν σφραγίδα, λέγει.

Τοῦ τιμίου ἐνδόξου προφήτου προδρόμου, καὶ βαπτιστοῦ Ἰωάννου.

Καὶ αἴρων, ά. μερίδα, τίθησιν αὐτὴν ἐν τῷ δεξιῷ μέρει τοῦ ἁγίου ἄρτου, πλησίον τῆς σφραγίδος τῆς Θεοτόκου, ποιῶν ἀρχὴν τῆς πρώτης τάξεως· ἔπειτα λέγει.

Τῶν ἁγίων ἐνδόξων προφητῶν, Μωσέως, καὶ Ἀαρὼν, Ἠλιοῦ, καὶ Ἐλισσαίου, Δαβὶδ τοῦ τοῦ Ἰεσσαὶ, καὶ τῶν ἁγίων τριῶν Παίδων, καὶ Δανιὴλ τοῦ προφήτου, καὶ πάντων τῶν ἁγίων προφητῶν.

Καὶ τίθησι δευτέραν μερίδα ὑποκάτω τῆς ά. εὐτάκτως· εἶτ' αὖθις λέγει.

Τῶν ἁγίων ἐνδόξων, καὶ πανευφήμων ἀποστόλων Πέτρου, καὶ Παύλου, καὶ πάντων τῶν ἁγίων ἀποστόλων.

Καὶ οὕτω τίθησι τὴν τρίτην μερίδα ὑποκάτω τῆς δευτέρας, τελειῶν τὴν πρώτην τάξιν. εἶτα λέγει.

Τῶν ἐν ἁγίοις πατέρων ἡμῶν, καὶ οἰκουμενικῶν μεγάλων διδασκάλων καὶ ἱεραρχῶν, Βασιλείου τοῦ μεγάλου, Γρηγορίου τοῦ θεολόγου, καὶ Ἰωάννου τοῦ Χρυσοστόμου, Ἀθανασίου, καὶ Κυρίλλου, Νικολάου τοῦ ἐν Μύροις, καὶ πάντων τῶν ἁγίων ἱεραρχῶν.

Καὶ αἴρων δ'. μερίδα, τίθησιν αὐτὴν πλησίον τῆς πρώτης μερίδος, ποιῶν δευτέραν ἀρχήν. εἶτα πάλιν λέγει.

واذ يرفع الجزء الخامس يضعه تحت الاول الذى هو راس الثانى ويقول

لابائنا الابرار المتوشحينَ باللـه . انطونيوس . وافتيميوس . وسابا . وانوفريوس . واثناسيوس اثوس . وجميع الابرار والبارات القديسين .

وهكذا اذ يرفع الجزء السادس يضعه تحت الثانى لاكتمال الصف الثانى وبعد هذا فيقول

للقديسين الصانعين العجايب الذين لم يكونوا يقبلوا اجرةً . قزما . ودامیانوس . وكيروس . ويوحنا . وبنديلايمون . وارمولاوس . وجميع القديسين الذين لم يكونوا يقبلوا اجرةً .

واذ يرفع الجزء السابع يضعه فى الاول صانعاً ابتدا الصف الثالث ويقول بعد ذلك

للقديسين الصديقين جدَّى المسيح الاله يواكيم وحنه . والقديس فلان الذى نكمل الان تذكاره . وجميع القديسين الذين بوسايلهم اعضدنا يااللّٰه

ويجعل الجزء الثامن من تحت الاول برتبة جيدة

وبعد ذلك يقول

لابينا القديس يوحنا فم الذهب ريس اساقفة القسطنطينيه

(ان كانت تقال خدمته واما ان كانت تقال خدمة القديس باسيليوس فيذكره)

وهكذا اذ يرفع الجزء التاسع يضعه فى اخر الصف الثالث اكتمالاً . ثم ياخذ ختماً ثالثاً ويقول

Τοῦ Κυρίου δεηθῶμεν.

κρατῶν καὶ τὸ ὡράριον ἐν τῇ χειρὶ. Μετὰ ταῦτα λέγει.

Ἔπαρον Δέσποτα.

Καὶ ὁ ἱερεὺς ἐμβαλὼν τὴν ἁγίαν λόγχην ἐκ πλαγίου τοῦ δεξιοῦ μέρους τῆς προσφορᾶς, ἐπαίρει τὸν ἅγιον ἄρτον, λέγων οὕτως.

Ὅτι αἴρεται ἀπὸ τῆς γῆς ἡ ζωὴ αὐτοῦ. Καὶ θεὶς αὐτὸν ὀπτιον ἐν τῷ ἁγίῳ Δίσκῳ, εἰπόντος τοῦ διακόνου. Θῦσον δέσποτα· θύει αὐτὸν σταυροειδῶς οὕτω λέγων.

Θύεται ὁ Ἀμνὸς τοῦ Θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς, καὶ σωτηρίας.

Καὶ στρέφει τὸ ἕτερον μέρος ἐπάνω, τὸ ἔχον τὸν σταυρόν. Νύττον δὲ αὐτὸν ἐν τῷ δεξιῷ μέρει μετὰ τῆς λόγχης ἐπιλέγει.

Εἷς τῶν στρατιωτῶν λόγχῃ τὴν πλευρὰν αὐτοῦ ἔνυξε, καὶ εὐθέως ἐξῆλθεν αἷμα, καὶ ὕδωρ· καὶ ὁ ἑωρακὼς μεμαρτύρηκε, καὶ ἀληθινή ἐστιν ἡ μαρτυρία αὐτοῦ.

Ὁ δὲ διάκονος ἐγχέει τῷ ἁγίῳ ποτηρίῳ ἐκ τοῦ νάματος ὁμοῦ, καὶ τοῦ ὕδατος, εἰπὼν πρότερον πρὸς τὸν ἱερέα.

Εὐλόγησον δέσποτα τὴν ἁγίαν ἕνωσιν. καὶ εὐλογεῖ αὐτά.

Ὁ δὲ ἱερεὺς λαβὼν ἐν ταῖς χερσὶ τὴν πρώτην σφραγῖδα, λέγει.

Εἰς τιμὴν, καὶ μνήμην τῆς ὑπερευλογημένης, ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου, καὶ ἀειπαρθένου Μαρίας, ἧς ταῖς πρεσβείαις πρόσδεξαι Κύριε τὴν θυσίαν ταύτην εἰς τὸ ὑπερουράνιόν σου θυσιαστήριον.

واذ يكون رفع منهُ جزءًا يضعهُ من عن جانب يمين الخبز المقدس بقرب وسطه قايلًا

قامت الملكة من عن يمينك مشتملة بثوب مذهب موشى

ويأخذ ختماً ثانياً قايلًا

للنبي الكريم السابق المجيد يوحنا المعمدان

واذ يكون رفع الجزء الاول يضعه عن يمين الخبز المقدس بقرب ختم والدة الاله صانعاً ابتدا الصف الاول ثم يقول

للقديسين المجيدين الانبيا موسى . وهرون . وايليا . واليشع . وداود بن يسّى . والثلثة الفتية القديسين . ودانيال النبي . وجميع الانبيا القديسين

ويضع الجزء الثانى تحت الاول برتبة جيدة وبعد ذلك يكرر قايلًا

للقديسين المشرفين الرسل الكلى مديحهم بطرس وبولس وجميع الرسل القديسين

وهكذا يضع الجزء الثالث تحت الثانى مكملًا الصف الاول . ثم يقول

لابائنا القديسين معلمين المسكونة روساء الكهنة المعظمين باسيليوس الكبير . وغريغوريوس . الثاولوغوس . ويوحنا فم الذهب . واثناسيوس . وكيرللوس . ونيقولاوس راعى ميرا . وجميع روساء الكهنة القديسين +

واذ يرفع الجزء الرابع يضعه فى جانب الجزء الاول صانعاً ابتدا الصف الثانى ثم يقول

القديس استفانوس رييس الشمامسة واول الشهدا . والقديسين الشهدا المعظمين . ديمتريوس . وجاورجيوس . وثاودوروس . وجميع الشهدا والشهيدات القديسين .

Καὶ οὕτως ἀπέρχονται ἐν τῇ Προθέσει· εἶτα προσκυνήματα τρία ἔμπροσθεν τῆς Προθέσεως ποιήσαντες, λέγουσιν ἕκαστος τὸ.

Ὁ Θεὸς ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ, καὶ ἐλέησόν με. καὶ τὸ.

Ἐξηγόρασας ἡμᾶς ἐκ τῆς κατάρας τοῦ νόμου τῷ τιμίῳ σου αἵματι, τῷ σταυρῷ προσηλωθεὶς, καὶ τῇ λόγχῃ κεντηθεὶς, τὴν ἀθανασίαν ἐπήγασας ἀνθρώποις, Σωτὴρ ἡμῶν δόξα σοι.

Εἶτα λέγει ὁ διάκονος.

Εὐλόγησον δέσποτα. Καὶ ποιεῖ ὁ ἱερεὺς Εὐλογητόν.

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα λαμβάνει ὁ Ἱερεὺς ἐν μὲν τῇ ἀριστερᾷ χειρὶ τὴν προσφορὰν, ἐν δὲ τῇ δεξιᾷ τὴν ἁγίαν λόγχην· καὶ σφραγίζων μετ' αὐτῆς τρίτον ἐπάνω τῆς σφραγίδος τῆς προσφορᾶς, λέγει.

Εἰς ἀνάμνησιν τοῦ Κυρίου, καὶ Θεοῦ, καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ: ἐκ τρίτου· Καὶ εὐθὺς πήγνυσι τὴν λόγχην ἐν τῷ δεξιῷ μέρει τῆς σφραγίδος. καὶ λέγει, ἀνατέμνων.

Ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη. ἐν δὲ τῷ ἀριστερῷ.

Καὶ ὡς ἀμνὸς ἄμωμος, ἐναντίον τοῦ κείροντος αὐτὸν ἄφωνος, οὕτως οὐκ ἀνοίγει τὸ στόμα αὐτοῦ.

Ἐν δὲ τῷ ἄνω μέρει τῆς σφραγίδος.

Ἐν τῇ ταπεινώσει αὐτοῦ ἡ κρίσις αὐτοῦ ἤρθη. ἐν δὲ τῷ κάτω.

Τὴν δὲ γενεὰν αὐτοῦ τίς διηγήσεται;

Ὁ δὲ διάκονος ἐνορῶν εὐλαβῶς τῇ τοιαύτῃ τελετῇ·

λέγει κατὰ μίαν ἑκάστην ἀνατομήν.

وفى ناحية الختم العلى

بتواضعه ارتفعت حكومته

وفى الناحية السفلى

امَّا جيله فمن يصفه

والشماس ينظر بكل ورع الى هذه الذبيحة ضابطا الزنار بيده وقايلًا على كل قطع من الرب نطلب ثم يقول ارفع ياسيد

والكاهن يغرز الحربة المقدسة بانحراف فى جانب ختم القربانه من ناحية اليمين . ويرفع الخبز المقدس قايلًا هكذا

لان حياته قد ارتفعت من الارض

وبعد ان يقلب الخبز فى الصينية المقدسة ويقول الشماس اذبح ياسيد

فيذبح شكل صليب هكذا

يذبح حمل اللّٰه الرافع خطية العالم لاجل حيوة العالم وخلاصه

ثم يقلب الجهة الاخرى التى عليها الصليب طاعناً اياها بالحربه فى الجهة اليمنى قايلًا

وان واحداً من الجند طعنهُ بحربةٍ فى جنبهِ . فخرج للوقت دمٌ وماء . والذى عاين شهد وشهادته حق هى

والشماس يسكب فى الكاس المقدسة الخمر والماء معاً بعد ان يكون قال نحو الكاهن بارك ياسيد هذا الاتحاد المقدس ويباركهما . وبعد ذلك يتناول الكاهن بيده ختماً اولياً قايلًا

اكراماً وتذكاراً للفايقة البركات المجيدة سيدتنا والدة الاله الدايمة بكارتها مريم . التى بشفاعاتها اقبل يارب هذه الذبيحة على مذبحك السماوى

Τὰ δὲ ἐπιμανίκια, ὡς ἄνωθεν εἴρηται. Εἶτα λαβὼν τὸν ὑπογονάτιον, εἰ ἔστι Πρωτοσύγγελος τῆς μεγάλης ἐκκλησίας, ἢ ἄλλος τις ἔχων ἀξιότητά τινα, καὶ εὐλογήσας αὐτὸ, καὶ ἀσπασάμενος, λέγει.

Περίζωσαι τὴν ῥομφαίαν σου ἐπὶ τὸν μηρόν σου δυνατὲ, τῇ ὡραιότητί σου, καὶ τῷ κάλλει σου· καὶ ἔντεινε, καὶ κατευοδοῦ, καὶ βασίλευε, ἕνεκεν ἀληθείας καὶ πραότητος, καὶ δικαιοσύνης· καὶ ὁδηγήσει σε θαυμαστῶς ἡ δεξιά σου, πάντοτε, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα λαβὼν τὸ φελώνιον, καὶ εὐλογήσας ἀσπάζεται, λέγων οὕτως.

Οἱ ἱερεῖς σου Κύριε ἐνδύσονται δικαιοσύνην, καὶ οἱ ὅσιοί σου ἀγαλλιάσει ἀγαλλιάσονται, πάντοτε, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα ἀπελθόντες εἰς τὴν Πρόθεσιν, νίπτουσι τὰς χεῖρας, λέγοντες.

Νίπτομαι ἐν ἀθῴοις τὰς χεῖράς μου, καὶ κυκλώσω τὸ θυσιαστήριόν σου Κύριε, τοῦ ἀκοῦσαί με φωνῆς αἰνέσεώς σου καὶ διηγήσασθαι πάντα τὰ θαυμάσιά σου· Κύριε ἠγάπησα εὐπρέπειαν οἴκου σου, καὶ τόπον σκηνώματος δόξης σου. μὴ συναπολέσῃς μετὰ ἀσεβῶν τὴν ψυχήν μου, καὶ μετὰ ἀνδρῶν αἱμάτων τὴν ζωήν μου, ὧν ἐν χερσὶν αἱ ἀνομίαι· ἡ δεξιὰ αὐτῶν ἐπλήσθη δώρων· ἐγὼ δὲ ἐν ἀκακίᾳ μου ἐπορεύθην· λύτρωσαί με Κύριε, καὶ ἐλέησόν με· ὁ ποῦς μου ἔστη ἐν εὐθύτητι· ἐν ἐκκλησίαις εὐλογήσω σε Κύριε.

اغسل يدى بالنقاوة . واطوف بمذبحك يارب . لكيما اسمع صوت تسبحتك . واحدّث بجميع عجايبك . يارب احببت جمال بيتك . وموضع محلة مجدك . فلا تهلك مع الكفرة نفسى . ولا مع رجال الدما حياتى . الذين فى ايديهم الاثم . ويمينهم امتلاءت من الرشى وانا بدعتى سلكت . انقذنى يارب وارحمنى . اوقف رجلى بالاستقامة . وفى الجماعات اباركك يارب .

وهكذا يمضيان الى مذبح التقدمة . ثم بعد ان يسجدا امامهُ ثلث مرات فكلٌ منهما يقول ياالله اغفرلى انا الخاطى وارحمنى ثم

اشتريتنا من لعنة الناموس بدمك الكريم لما طعنت على الصليب وجُرحت بحربةٍ فانبعت للبشر عدم الموت يامخلصنا المجد لك

ثم يقول الشماس بارك ياسيد

والكاهن يبارك قايلًا

مبارك هو الصناكل حين الان وكل اوان والى دهر الداهرين امين

ثم يتناول الكاهن القربانة بيده الشمال والحربة المقدسة باليمين واذ يعمل بها شكل صليب ثلث مرات فوق ختم القربانة يقول ثلثاً

لتذكار ربنا والهنا ومخلصنا يسوع المسيح

وحالًا يغرز الحربة فى ناحية الختم اليمنى ويقطع قايلًا

مثل خروف سيق الى الذبح

وفى ناحية الشمال

وكحمل برّيٍ من العيب امام جزّازه صامتاً هكذا لم يفتح فاه

Καὶ τὸ μὲν ὡράριον ἀσπασάμενος, ἐπιτίθησι τῷ ἀριστερῷ ὤμῳ. Τὰ δὲ ἐπιμανίκια ἐπιθέμενος ταῖς χερσὶν, ἐν μὲν τῷ δεξιῷ, λέγει.

Ἡ δεξιά σου χεὶρ Κύριε δεδόξασται ἐν ἰσχύϊ· ἡ δεξιά σου Κύριε ἔθραυσεν ἐχθροὺς, καὶ τῷ πλήθει τῆς δόξης σου συνέτριψας τοὺς ὑπεναντίους.

Ἐν δὲ τῷ ἀριστερῷ, λέγει.

Αἱ χεῖρές σου ἐποίησάν με, καὶ ἔπλασάν με· συνέτισόν με, καὶ μαθήσομαι τὰς ἐντολάς σου.

Εἶτα ἀπελθὼν ἐν τῇ προθέσει, εὐτρεπίζει τὰ ἱερά. Τὸν μὲν ἅγιον δίσκον τιθεὶς ἐν τῷ μέρει τῷ ἀριστερῷ· τὸ δὲ ποτήριον ἐν τῷ δεξιῷ, καὶ τὰ ἄλλα σὺν αὐτοῖς. Καὶ ὁ ἱερεὺς δὲ οὕτως ἐνδύεται· Λαβὼν τὸ στοιχάριον ἐν τῇ ἀριστερᾷ χειρὶ, καὶ προσκυνήσας τρίτον κατὰ ἀνατολὰς, ὡς εἴρηται, σφραγίζων αὐτὸ, λέγει.

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα ἐνδύεται αὐτὸ, λέγων.

Ἀγαλλιάσεται ἡ ψυχή μου. ἕως τέλους.

Εἶτα λαβὼν τὸ ἐπιτραχήλιον, καὶ σφραγίσας, περιτίθεται αὐτὸ, λέγων.

Εὐλογητὸς ὁ Θεὸς, ὁ ἐκχέων τὴν χάριν ἐπὶ τοὺς ἱερεῖς αὐτοῦ, ὡς μύρον ἐπὶ κεφαλῆς, τὸ καταβαῖνον ἐπὶ πώγωνα, τὸν πώγωνα τὸν Ἀαρὼν, τὸ καταβαῖνον ἐπὶ τὴν ὥαν τοῦ ἐνδύματος αὐτοῦ.

Εἶτα λαβὼν τὴν ζώνην λέγει περιζωννύμενος.

Εὐλογητὸς ὁ Θεὸς ὁ περιζωννύων με δύναμιν, καὶ ἔθετο ἄμωμον τὴν ὁδόν μου.

اما الكاهن فيلبس هكذا . اى انه اذ يكون تناول الاستيخارة بيده الشمال وصنع ثلث سجدات نحو الشرق كما مرَّ فيختمها قايلًا

مبارك هو الهنا كل حين الان وكل اوان والى دهر الداهرين امين +

ثم يلبسها قايلًا

فلتبتهج نفسى بالرب بتمامها

وبعد ان يكون اخذ البطراشيل وختمه يضعه فى عنقه قايلًا

مبارك هو اللّٰه المفيض النعمة على كهنته مثل الدهن على الراس الذى ينزل على اللحية لحية هرون النازل على جيب قميصه

ثم ان ياخذ الزنار يتمنطق به قايلًا

مبارك هو اللّٰه الذى يمنطقنى بالقوة وجعل طريقى بلا عيبٍ

ثم وعلى الكمين كما سبق الشرح . ثم يتناول المجمر . ان كان هو بروطوسينجالوس فى الكنيسة العظمى . او حاصلًا على مقام اخر ذى استحقاقٍ . واذ يباركه ويقبّله يقول

تقلد سيفك على فخذك ايها القوى بحسنك وجمالك . استله واذهب ناجحًا . واملك من اجل الحق والدعة والصدق . وتهديك بالعجب يمينك كل حينٍ . الان وكل اوان والى دهر الداهرين امين +

واذ يتناول الفالونيون ويباركها ويقبلها فيقول هكذا

كهنتك يارب يلبسون العدل . وابرارك يبتهجون ابتهاجاً كل حينٍ . الان وكل اوان والى دهر الداهرين امين +

ثم ان يذهبان الى مذبح التقدمة يغسلان ايديهما قايلين

Κύριε ἐξαπόστειλον τὴν χεῖρά σου ἐξ ὕψους κατοικητηρίου σου, καὶ ἐνίσχυσόν με εἰς τὴν προκειμένην διακονίαν σου, ἵνα ἀκατακρίτως παραστὰς τῷ φοβερῷ σου βήματι, τὴν ἀναίμακτον ἱερουργίαν ἐπιτελέσω. Ὅτι σοῦ ἐστιν ἡ δύναμις, καὶ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἔπειτα ποιοῦσι καὶ εἰς τοὺς χοροὺς προσκυνήματα ἀνὰ ἓν. Καὶ οὕτως ἀπέρχονται εἰς τὸ θυσιαστήριον, λέγοντες, τὸ, Εἰσελεύσομαι εἰς τὸν οἶκόν σου· καὶ τὰ λοιπά.

Ἐλθόντες δὲ εἰς τὸ ἱερατεῖον, ποιοῦσι προσκυνήματα, γ'. ἔμπροσθεν τῆς ἁγίας τραπέζης, καὶ ἀσπάζονται τὸ ἅγιον εὐαγγέλιον καὶ τὴν ἁγίαν τράπεζαν· εἶτα λαμβάνουσιν ἐν ταῖς χερσὶν αὐτῶν ἕκαστος τὸ στιχάριον αὐτοῦ· καὶ ποιοῦσι προσκυνήματα γ'. πρὸς ἀνατολὰς, λέγοντες καθ' ἑαυτὸν ἕκαστος, τὸ.

Ὁ Θεὸς ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ. Εἶτα προσέρχεται τῷ ἱερεῖ ὁ διάκονος, κρατῶν ἐν τῇ δεξιᾷ χειρὶ τὸ στιχάριον σὺν τῷ ὡραρίῳ, καὶ ὑποκλίνας αὐτοῦ τὴν κεφαλὴν, λέγει.

Εὐλόγησον Δέσποτα τὸ στιχάριον σὺν τῷ ὡραρίῳ. Ὁ ἱερεὺς λέγει.

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Εἶτα ὑποχωρεῖ καθ' ἑαυτὸν ὁ διάκονος, εἰς ἕν μέρος τοῦ ἱερατείου, καὶ ἐνδύεται τὸ στιχάριον, εὐχόμενος οὕτως.

Ἀγαλλιάσεται ἡ ψυχή μου ἐπὶ τῷ Κυρίῳ· ἐνέδυσε γάρ με ἱμάτιον σωτηρίου, καὶ χιτῶνα εὐφροσύνης περιέβαλέ με· ὡς νυμφίῳ περιέθηκέ μοι μίτραν καὶ ὡς νύμφην κατεκόσμησέ με κόσμῳ.

فاكمّل الذبيحه الغير الدموية . لان لك هى القوه والمجد . الى دهر الداهرين امين +

ثم يصنعان لكلٍ من الخورصين مطانيةً واحدةً . وهكذا يدخلان الهيكل قايلين ادخل الى بيتك الخ واذ يحضران فى الهيكل يسجدان ثلث سجدات امام المايدة المقدسه . ويقبلان الانجيل المقدس والمايدة المقدسه . ثم يتناول كلٌ منهما استيخارته بيده . ويصنع ثلث سجدات نحو الشرق قايلًا كلٌ فى ذاته ياالله اغفرلى انا الخاطى

ثم يقترب الشماس الى الكاهن ضابطًا الاستيخاره مع الزنار بيده اليمين ويحنى راسه قايلًا بارك ياسيد هذه الاستيخاره مع الزنار

والكاهن يقول مبارك هو الصنا كل حينٍ الان وكل اوان والى دهر الداهرين امين فيمضى الشماس الى جانب من الهيكل ويلبس الاستيخاره مصليًا هكذا

فلتبتهج نفسى بالرب . لانه البسنى ثوب الخلاصٍ . وسربلنى حلّة السرور ووضع على تاجاً كالختن . ومثل العروسة زيّننى زينة +

واذ يقبّل الزنار يضعه على كتفه الشمال . ثم يضع الكمين فى يديه ففى اليمين يقول

يدك اليمنى يارب ممجدة بالقوة . يمينك يارب سحقت الاعدا . وبكثرة مجدك بددت المناصبين +

وفى الشمال يقول

يداك صنعتانى وجبلتانى فهمنى فاتعلم وصاياك

ثم ياتى الى مايدة التقدمة ويهيى الانية المقدسه . فيضع الصينية المقدسه فى ناحية الشمال . والكاس من عن اليمين ومعهما الانية الاخر

ΔΙΑΤΑΞΙΣ

ΤΗΣ ΘΕΙΑΣ

ΚΑΙ ΙΕΡΑΣ ΛΕΙΤΟΥΡΓΙΑΣ.

Μέλλων ὁ Ἱερεὺς τὴν θείαν ἐπιτελεῖν Μυσταγωγίαν, ὀφείλει προηγουμένως ἐξωμολογημένος, καὶ κατηλλαγμένος εἶναι μετὰ πάντων, καὶ μὴ ἔχειν τί κατά τινος, καὶ τὴν καρδίαν δὲ ὅση δύναμις, ἀπὸ πονηρῶν τηρῆσαι λογισμῶν, ἐγκρατεύεσθαί τε ἀφ' ἑσπέρας, καὶ ἐγρηγορηκὼς μέχρι τοῦ τῆς Ἱερουργίας καιροῦ. τοῦ δὲ καιροῦ ἐπιστάντος, μετὰ τὸ ποιῆσαι τὴν συνήθη τῷ Προεστῶτι μετάνοιαν, εἰσέρχεται ἐν τῷ Ναῷ, καὶ ἐνωθεὶς τῷ Διακόνῳ, ποιοῦσιν ὁμοῦ πρὸς ἀνατολὰς ἔμπροσθεν τῶν ἁγίων Θυρῶν προσκυνήματα τρία, εἶτα λέγει ὁ Διάκονος. Εὐλόγησον Δέσποτα· καὶ ποιήσαντος τοῦ Ἱερέως Εὐλογητὸν, ἄρχεται λέγειν ὁ Διάκονος, τὸ.

Βασιλεῦ οὐράνιε· τὸ Τρισάγιον· μετὰ δὲ τὸ, Πάτερ ἡμῶν, ὁ Ἱερεύς. Ὅτι σοῦ ἐστιν ἡ Βασιλεία. εἶτα λέγουσι τὸ· Ἐλέησον ἡμᾶς, Κύριε ἐλέησον ἡμᾶς. Δόξα. Κύριε ἐλέησον ἡμᾶς. Καὶ νῦν. Τῆς εὐσπλαγχνίας τὴν πύλην. Ἔπειτα ἀπέρχονται εἰς τὴν Εἰκόνα τοῦ Χριστοῦ, λέγοντες.

Τὴν ἄχραντον Εἰκόνα σου προσκυνοῦμεν ἀγαθέ· ὅλον τὸ τροπάριον.

Εἶτα ἀσπάζονται καὶ τὴν Εἰκόνα τῆς Θεοτόκου λέγοντες τὸ τροπάριον.

Εὐσπλαγχνίας ὑπάρχουσα πηγή· ὅλον· εἶτα κλίνοντες τὴν κεφαλὴν, λέγουσι ταύτην τὴν εὐχήν.

طقس الليتورجيا الالهية المقدسة .

ان الكاهن المزمع ان يتمم السر الالهى . يلتزم بان يعترف قبلاً . وبان يكون متصالحاً مع كل احد . وبان لايكون عنده حقد ضد احد . وبان يحفظ قلبه بكل قوته نقياً من الافكار الشريرة . ومنذ الغروب يكون متنسكاً مستيقظاً الى اوان الخدمة . واذ يحين الوقت يدخل الى الهيكل بعد ان يكون عمل الاحترام المعتاد الى الرييس . وبرفقة الشماس يصنعان معاً ثلث مطانيات نحو الشرق امام الابواب المقدسه . ثم يقول الشماس بارك ياسيد . واذ يكون بارك يبتدى الشماس قايلاً ايها الملك السماوى الخ . وقدوس الله الخ وبعد ابانا الذى يقول الكاهن لان لك هو الملك الخ . ثم يقولان ارحمنا يارب ارحمنا الخ ذكصا ارحمنا يارب الخ كانين افتحى لنا باب التحنن الخ ثم يذهبان نحو ايقونة المسيح قايلين لصورتك التى بلا عيب نسجد ايها الصالح الخ ثم الطروباريون بتمامه . ثم يقبلان ايقونة والدة الاله قايلين الطروباريون انتِ هى ينبوع التحنن بتمامه

ثم يحنيان راسيهما قايلين هذا الافشين

يارب ارسل يدك من علو مسكنك . وقوني على خدمتك هذه الموضوعة . حتى اذاما وقفت لدى مذبحك الرهيب بغير ذنبٍ .

ἁγίου κατοικητηρίου σου, καὶ εὐλόγησον πάντας ἡμᾶς, καὶ εἴτι ἡμάρτομεν ἑκουσίως, ἢ ἀκουσίως, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς συγχώρησον, δωρούμενος ἡμῖν τὰ ἐγκόσμια, καὶ ὑπερκόσμια ἀγαθά σου. Ἐκφώνως.

Σὸν γάρ ἐστι τὸ ἐλεεῖν, καὶ σώζειν ἡμᾶς.

Εἶτα ὁ Διάκονος.

Σοφία. Ὁ ὢν εὐλογητὸς Χριστὸς ὁ Θεὸς ἡμῶν.

Δεῦτε προσκυνήσωμεν.

Καὶ ἡ πρώτη Ὥρα· καὶ Ἀπόλυσις.



Σήμερον σωτηρία τῷ Κόσμῳ γέγονεν· ᾄσωμεν τῷ ἀναστάντι ἐκ τάφου. καὶ ἀρχηγῷ τῆς ζωῆς ἡμῶν· καθελὼν γὰρ τῷ θανάτῳ τὸν θάνατον· τὸ νῖκος ἔδωκεν ἡμῖν· καὶ τὸ μέγα ἔλεος.

Εἶτα λέγει ὁ Διάκονος, εἴπερ τύχῃ, τὴν ἐκτενήν.

Ἐλέησον ἡμᾶς ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου.

Ἔτι δεόμεθα ὑπὲρ τῶν Ἀδελφῶν ἡμῶν.

Ἔτι δεόμεθα ὑπὲρ τῶν μακαρίων κτιτόρων.

Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης. Ἐκφώνως.

Ὅτι ἐλεήμων, καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις.

Πληρώσωμεν τὴν ἐωθινὴν δέησιν ἡμῶν τῷ Κυρίῳ.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον.

Τὴν ἡμέραν πᾶσαν, τελείαν, ἁγίαν, εἰρηνικήν.

Ἄγγελον εἰρήνης, πιστὸν, ὁδηγὸν, φύλακα.

Συγγνώμην, καὶ ἄφεσιν τῶν ἁμαρτιῶν, καὶ τῶν πλημμελημάτων.

Τὰ καλὰ, καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν.

Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν.

Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν.

Τῆς παναγίας ἀχράντου, ὑπερευλογημένης. Ἐκφώνως.

Ὅτι Θεὸς ἐλέους οἰκτιρμῶν. Εἰρήνη πᾶσι.

Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

Κύριε ἅγιε, ὁ ἐν ὑψηλοῖς κατοικῶν, καὶ τὰ ταπεινὰ ἐφορῶν, καὶ τῷ παντεφόρῳ σου ὄμματι ἐπιβλέπων ἐπὶ πᾶσαν τὴν Κτίσιν. σοὶ ἐκκλίναμεν τὸν αὐχένα τῆς ψυχῆς, καὶ τοῦ σώματος, καὶ δεόμεθά σου· Ἅγιε ἁγίων ἔκτεινον τὴν χεῖρά σου τὴν ἀόρατον ἐξ

σου Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ ἀρχόμεθα τῶν Κανόνων. Τοῦ ἀναστασίμου. Σταυροαναστασίμου. Τῆς Θεοτόκου. Καὶ τοῦ Μηναίου. Ἀπὸ, γ΄. φδῆς ποιεῖ ὁ Ἱερεὺς μικρὰν Συναπτήν. Ἔτι, καὶ ἔτι. Ἀντιλαβοῦ. Τῆς παναγίας. Ἐκφώνως.

Σὺ γὰρ εἶ ὁ Βασιλεὺς. Τὸ Κοντάκιον, καὶ ὁ Οἶκος. Καὶ Ἀνάγνωσις εἰς τὸ Συναξάριον. Ἀπὸ θ΄. φδῆς, Συναπτή. Ἔτι, καὶ ἔτι. Ἀντιλαβοῦ. Τῆς παναγίας. Ἐκφώνως.

Ὅτι σὲ αἰνοῦσι πᾶσαι αἱ Δυνάμεις τῶν Οὐρανῶν. Εἶτα τὸ, Ἅγιος Κύριος ὁ Θεός. Τὸ ἀναστάσιμον Ἐξαποστειλάριον. Καὶ τοῦ Ἁγίου, εἰ ἑορτάζεται.

Εἰς τοὺς Αἴνους. Στιχηρὰ ἀναστάσιμα, δ΄. Καὶ ἀνατολικὰ, γ΄. Λέγομεν καὶ στίχους δύο. Στίχος, ά. Ἀνάστηθι Κύριε ὁ Θεός μου. Στίχος, β΄. Ἐξομολογήσομαί σοι Κύριε. Δόξα. τὸ ἑωθινόν. Καὶ νῦν. Ὑπερευλογημένη. Δοξολογία μεγάλη. Λέγομεν τὸ παρὸν τροπάριον εἰς ἦχον β΄. Ἰωάννου τοῦ Δαμασκηνοῦ.

Ἀναστὰς ἐκ τοῦ μνήματος· καὶ τὰ δεσμὰ διαῤῥήξας τοῦ ᾅδου· ἔλυσας τὸ κατάκριμα τοῦ θανάτου Κύριε, πάντας ἐκ τῶν παγίδων τοῦ ἐχθροῦ ῥυσάμενος· ἐμφανίσας δὲ ἑαυτὸν τοῖς Ἀποστόλοις σου, ἐξαπέστειλας αὐτοὺς ἐπὶ τὸ κήρυγμα. καὶ δι' αὐτῶν τὴν εἰρήνην σου παρέσχες τῇ Οἰκουμένῃ, μόνε πολυέλεε.

Ἰστέον δὲ, ὅτι τὸ παρὸν τροπάριον λέγεται εἰς τὸν ά. ἦχον, εἰς τὸν γ΄. εἰς τὸν πλ. ά. καὶ εἰς ἦχ. βαρ. εἰς δὲ τοὺς λοιποὺς, τὸ παρὸν Ἀναστάσιμον τροπάριον, τοῦ αὐτοῦ.

Ὅτι ηὐλόγηταί σου τὸ ὄνομα, καὶ δεδόξασταί σου ἡ Βασιλεία, τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἡ Ὑπακοή· οἱ Ἀναβαθμοὶ τοῦ ἤχου. Προκείμενον ἀναστάσιμον.

Ὁ Διάκονος.

Τοῦ Κυρίου δεηθῶμεν. Ὁ Ἱερεὺς ἐκφώνως. Ὅτι ἅγιος εἶ ὁ Θεὸς ἡμῶν, καὶ ἐν Ἁγίοις ἐπαναπαύῃ. τὸ· Πᾶσα πνοή· καὶ μετὰ τοῦτο

Ἐκφωνεῖ ὁ Διάκονος.

Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι. Καὶ λέγει τὸ ἑωθινὸν Εὐαγγέλιον, εἴπερ τύχῃ Κυριακή. Εἶθ' οὕτως. Ἀνάστασιν Χριστοῦ. Καὶ ὅ, Ν'. Μετὰ δὲ τὸν ἀσπασμὸν τοῦ Εὐαγγελίου, λέγει ὁ Διάκονος.

Σῶσον ὁ Θεὸς τὸν Λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου, ἐπίσκεψαι τὸν Κόσμον σου ἐν ἐλέει καὶ οἰκτιρμοῖς· ὕψωσον κέρας Χριστιανῶν ὀρθοδόξων, καὶ κατάπεμψον ἐφ' ἡμᾶς τὰ ἐλέη σου τὰ πλούσια πρεσβείαις τῆς παναχράντου Δεσποίνης ἡμῶν Θεοτόκου, καὶ Ἀειπαρθένου Μαρίας· δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ, προστασίαις τῶν τιμίων ἐπουρανίων Δυνάμεων Ἀσωμάτων, τοῦ τιμίου ἐνδόξου Προφήτου Προδρόμου, καὶ Βαπτιστοῦ Ἰωάννου, τῶν ἁγίων ἐνδόξων, καὶ πανευφήμων Ἀποστόλων, τῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων Μαρτύρων.

Καὶ τὰ λοιπὰ τούτων, ὡς ἐν τῇ Λιτῇ γέγραπται.

Εἶτα λέγει ὁ Ἱερεὺς ἐκφώνως.

Ἐλέει, καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ

καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα λέγει τὴν μεγάλην Συναπτήν.

Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης.

Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος Κόσμου.

Ὑπὲρ τοῦ ἁγίου Οἴκου τούτου.

Ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν.

Ὑπὲρ τῆς Πόλεως ταύτης.

Ὑπὲρ εὐκρασίας ἀέρων.

Ὑπὲρ πλεόντων, ὁδοιπορούντων.

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ.

Τῆς παναγίας ἀχράντου. Ἐκφώνως.

Ὅτι πρέπει σοὶ πᾶσα δόξα, τιμὴ, καὶ προσκύνησις. Μετὰ δὲ τὴν Ἐκφώνησιν, ψάλλεται τὸ, Θεὸς Κύριος. Εἶτα τὸ τροπάριον τῆς Κυριακῆς, εἴπερ τύχῃ, ἐκ δευτέρου· ἔπειτα τὸ τροπάριον τοῦ κατὰ τὴν ἡμέραν Ἁγίου, εἴπερ ἐστὶν ἑορτάσιμος. Εἶθ' οὕν· τὸ, α΄ τοῦ Ἤχου. Μετὰ δὲ τοῦτο, ἡ συνήθης στιχολογία. Μετὰ δὲ τὴν συμπλήρωσιν τῆς στιχολογίας, ποιεῖ ὁ Ἱερεὺς μικρὰν Συναπτήν.

Ἔτι, καὶ ἔτι ἐν εἰρήνῃ. Ἀντιλαβοῦ, σῶσον, ἐλέησον. Τῆς παναγίας ἀχράντου. Ἐκφώνως.

Ὅτι σὸν τὸ κράτος. Μετὰ τὴν, β΄. στιχολογίαν. Ἔτι, καὶ ἔτι. Ἐκφώνως.

Ὅτι ἀγαθὸς. Μετὰ τὸν Ἀμωμον, καὶ τὰ Εὐλογητάρια· Ἐκφωνεῖ.

اعلان

لان من خاصتك هى الرحمه والخلاص لنا الخ

ثم الشماس صوفيا

انت المسيح الهنا المبارك الخ

ثم يقال هلم فنسجد والساعة الاولى . ويصير الختم



Εὐχὴ α΄.

Ὁ Θεὸς ἡμῶν, ὁ τὰς νοερὰς καὶ λογικὰς καὶ ὑποστησάμενος δυνάμεις τῷ σῷ θελήματι, σοῦ δεόμεθα καὶ σὲ ἱκετεύομεν, πρόσδεξαι ἡμῶν μετὰ τῶν κτισμάτων σου πάντων τὴν κατὰ δύναμιν δοξολογίαν, καὶ ταῖς πλουσίαις τῆς σῆς ἀγαθότητος ἀντάμειψαι δωρεαῖς· ὅτι σοὶ κάμπτει πᾶν γόνυ ἐπουρανίων, καὶ ἐπιγείων, καὶ καταχθονίων, καὶ πᾶσα πνοὴ καὶ κτίσις ὑμνεῖ τὴν ἀκατάληπτόν σου δόξαν· μόνος γὰρ εἶ Θεὸς ἀληθινὸς καὶ πολυέλεος. Ὅτι σὲ αἰνοῦσι πᾶσαι αἱ Δυνάμεις τῶν Οὐρανῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εὐχὴ β΄.

Αἰνοῦμεν, ὑμνοῦμεν, εὐλογοῦμεν, καὶ εὐχαριστοῦμέν σοι ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, ὅτι παρήγαγες τὴν σκιὰν τῆς νυκτὸς, καὶ ἔδειξας ἡμῖν πάλιν τὸ φῶς τῆς ἡμέρας, ἀλλ' ἱκετεύομεν τὴν σὴν ἀγαθότητα· ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν, καὶ πρόσδεξαι τὴν δέησιν ἡμῶν ἐν τῇ μεγάλῃ σου εὐσπλαγχνίᾳ, ὅτι πρὸς σὲ καταφεύγομεν, τὸν ἐλεήμονα καὶ παντοδύναμον Θεὸν· λάμψον ἐν ταῖς καρδίαις ἡμῶν τὸν ἀληθινὸν ἥλιον τῆς Δικαιοσύνης σου· φώτισον τὸν νοῦν ἡμῶν, καὶ τὰς αἰσθήσεις ὅλας διατήρησον, ἵνα ὡς ἐν ἡμέρᾳ εὐσχημόνως περιπατοῦντες τὴν ὁδὸν τῶν ἐντολῶν σου, καταντήσωμεν εἰς τὴν ζωὴν τὴν αἰώνιον, ὅτι παρὰ σοί ἐστιν ἡ πηγὴ τῆς ζωῆς, καὶ ἐν ἀπολαύσει γενέσθαι καταξιωθῶμεν τοῦ ἀπροσίτου φωτός. Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ,

اعلان

لانك انت هو الهٌ رحومٌ ومحبٌ للبشر الخ
فلنكمل طلبتنا السحريه للرب
اعضد وخلص وارحم واحفظنا يااللّٰه الخ
ان يكون يومنا جميعه كاملًا مقدساً سلامياً الخ
ملك سلام مرشداً اميناً وحافظاً الخ
مسامحة خطايانا وغفران زلاتنا الخ
الخيرات المفيده لانفسنا الخ
الباقى من زمن حياتنا الخ
منتهاة حياتنا مسيحية الخ
ذات كل قداسة الطاهره الفايقه البركات الخ

اعلان

لانك انت هو الهٌ رحومٌ الخ
فلنحن روسنا للرب
السلام لجميعكم .
ايها الرب القدوس الساكن فى العلا . والناظر المتطامنات . والملاحظ كل خليقة بعينك الحاذقه . لك قد احنينا عنق النفس والجسد . فنتضرع اليك ياقدوس القديسين . فامدد يدك الغير المنظوره من مسكنك المقدس وبارك جميعنا . وان كنا اخطانا طوعياً او غير طوعى . فاصفح لنا كاله صالح ومحب للبشر . واهبنا ايانا خيراتك الارضيه والسمويه

τὰς σαρκικὰς ἐπιθυμίας καταπατήσαντες, πνευματικὴν πολιτείαν μετέλθωμεν, πάντα τὰ πρὸς εὐαρέστησιν τὴν σὴν φρονοῦντες καὶ πράττοντες. Ὅτι σὺ εἶ ὁ ἁγιασμὸς, καὶ ὁ φωτισμὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εὐχὴ ι΄.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τὴν διὰ μετανοίας ἄφεσιν τοῖς ἀνθρώποις δωρησάμενος, καὶ τόπον ἡμῖν ἐπιγνώσεως ἁμαρτημάτων, καὶ ἐξομολογήσεως, τὴν τοῦ Προφήτου Δαβὶδ μετάνοιαν πρὸς συγχώρησιν ὑποδείξας· αὐτὸς Δέσποτα, πολλοῖς ἡμᾶς καὶ μεγάλοις περιπεπτωκότας πλημμελήμασιν, ἐλέησον κατὰ τὸ μέγα σου ἔλεος, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὰ ἀνομήματα ἡμῶν· ὅτι σοὶ ἡμάρτομεν Κύριε, τῷ καὶ τὰ ἄδηλα, καὶ κρύφια τῆς καρδίας τῶν ἀνθρώπων γινώσκοντι, καὶ μόνῳ ἔχοντι ἐξουσίαν ἀφιέναι ἁμαρτίας· καρδίαν δὲ καθαρὰν κτίσας ἐν ἡμῖν, καὶ πνεύματι ἡγεμονικῷ στηρίξας ἡμᾶς, καὶ τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου γνωρίσας ἡμῖν, μὴ ἀπορρίψῃς ἡμᾶς ἀπὸ τοῦ προσώπου σου· ἀλλ' εὐδόκησον ὡς ἀγαθὸς καὶ φιλάνθρωπος, μέχρι τῆς ἐσχάτης ἡμῶν ἀναπνοῆς προσφέρειν σοι θυσίαν δικαιοσύνης, καὶ ἀναφορὰν ἐν τοῖς ἁγίοις σου Θυσιαστηρίοις. Ἐλέει καὶ οἰκτιρμοῖς, καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

اناستاسيمون وثلث اناطوليكات . ونقول اثنين من الستيخون . الستيخون الاول قم ايها الرب الهى الستيخون الثانى أعترف لك يارب الخ ثم ذكصا . الطروباريه السحريه . كانين انت هى الفايقه البركات . المجد لله فى العلا . ونقول ايضاً هذه الطروباريه التى ليوحنا الدمشقى باللحن الثانى

قمت يارب من القبر . وقطعت رباطات الجحيم . وحللت حكومة الموت . وانقذت الكافة من فخاخ العدو . واظهرت ذاتك لرسلك . وارسلتهم الى الكرز والانذار . ومنحت بهم سلامتك للمسكونه ياجزيل الرحمه وحدك .

تنبيه . ان هذه الطروباريه تقال فى اللحن الاول . وفى الثالث . وفى الخامس . وفى السابع . اما فى الالحن الاخر فتقال طروبارية اناستاسيمون التى للقديس المذكور وهى

اليوم صار الخلاص للعالم . فلنسبح الذى قام من القبر عنصر حياتنا . لانه حطم الموت بالموت . ومنحنا الظفر وعظيم الرحمة .

ثم يقول الشماس اذا كان موجوداً الاكتانى . وبعد الانوس والذكصولوجيا ماغالى يقول الشماس

ارحمنا ياالله كعظيم رحمتك الخ

وايضاً نطلب من اجل اخوتنا الخ

وايضاً نطلب من اجل المطوبين الحسنى الذكر الذين عمروا الخ

وايضاً نطلب من اجل الرحمة والحيوة والسلام الخ

παρατηρήσῃς Κύριε, Κύριε τίς ὑποστήσεται· ὅτι παρὰ σοὶ ἡ ἀπολύτρωσις· Σὺ εἶ μόνος ἅγιος, βοηθὸς κραταιὸς, ὑπερασπιστὴς τῆς ζωῆς ἡμῶν, καὶ ἐν σοὶ ἡ ὕμνησις ἡμῶν διαπαντός. Εἴη τὸ κράτος τῆς Βασιλείας σου εὐλογημένον καὶ δεδοξασμένον, τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εὐχὴ ἡ.

